1 μηδένα P 3 εὐλαβείασ VP τῆσ VPA καὶ τῆσ SD 4 τριακοσίουσ δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA πεπληρωμένη τῇ ἐπιστολῇ A 4/5 θεοσεβεστάτου $VΛ^{c}$ 5 ἐπισκόπου om. A ὁρῶν — ἔννοιαν] συμφώνῳ οὔσῃ καὶ ταύτην φυλάττω τὴν πίστιν A ταύτησ VPΛ ταύτην SD τὰ αὐτὰ $VPSDΛ^{tu}$ ταῦτα $AΛ^{c}$ 6—8 τὴν ἐκκλησίαν — ἐπίσταμαι om. V 6 τὴν ἐκκλησίαν om. A τὰ PΛ καὶ τὰ SDA ἃ καὶ A 7 πονημάτων τῶν om. P ὁσίων PA ἁγίων SD 8 ἐπίσταται P 9 πόλεωσ om. AΛ μητροπόλεωσ $SDΛ^{c}$ τῆσ κρήτησ μητροπόλεωσ V τῆσ μητροπόλεωσ κρήτησ P om. $AΛ^{tu}$ 10 ἁγίων $AΛ^{u}$ 11 συμφωνοῦσαν A 11/12 ταύτησ τῇ ἐκθέσει A 12 ὡσαύτωσ ἐκείνοισ om. VP εἰς] τὸ P 12/13 τοῦ πρσ καὶ τοῦ υἱοῦ καὶ τοῦ P 13 ἐκβαλεῖν VP οἶμαι A 14—p. 16, 21 om. V 14 Ἀλλάνικοσ D μητροπόλεως om. $AΛ^{tu}$ 15 τῆς] τῇ A ἐπισκόπου om. PA 17 ταύτηι om. P 18 εἶναι θεοτόκον P 19/20 θεοφιλεστάτου καὶ ἁγιωτάτου $AΛ^{t}$ ἁγιωτάτου καὶ θεοφιλεστάτου PSD 20 καὶ ἐπισκόπου PAΛ om. SD συμφωνοῦσα P 22 σύμφωνον A συμφωνοῦσαν P om. SD ἐκτεθείσῃ PSD 25 Πύροσ D 26 ἁγίων PΛ ἁγιωτάτων SDA τῶν om. A 27/28 τὴν ἐπιστολὴν θεασάμενοσ τοῦ — νεστορίῳ A θεασάμενοσ τὴν ἐπιστολὴν τοῦ — νεστορίῳ P τὴν ἐπιστολὴν τοῦ — νεστορίῳ θεασάμενοσ SD 27 ἐπισκόπου κυρίλλου PΛ κυρίλλου τοῦ ἐπισκόπου A κυρίλλου SD 28 τῶι εὐλαβεστάτωι om. A 29/30 ἐκτεθείσησ καλῶσ A 33 καὶ om. A ἡμῶν PA ἡμῖν D, de S non constat

12 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπε· Τῆς ἐπιστολῆς τοῦ τὰ πάντα θεοφιλεστάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου τὴν ἀποστολικὴν παράδοσιν ἀκριβῶς σωιζούσης καὶ τῆι ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν ἐν τῆι Νικαέων συναχθέντων συμβαινούσης, ἄγαμαί τε τῆς ὀρθότητος καὶ σύμφημι καὶ συναινῶ τῶι εὐσεβεῖ τῶν δογμάτων.

13 Προθύμιος ἐπίσκοπος Κομάνης εἶπε· Κατ' οὐδὲν λειπομένην ἢ πλεονάζουσαν τὴν ἔκθεσιν τῆς πίστεως τῆς ὑπανεγνωσμένης ἡμῖν διὰ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου εὑρὼν τὴν πίστιν τὴν ἐκτεθεῖσαν παρὰ τῶν πατέρων τῶν τιη ἢ μόνον ἐν ψιλαῖς λέξεσιν, ὁμολογῶ ἐν αὐτῆι βεβαπτίσθαι καὶ τετέχθαι καὶ ηὐξῆσθαι καὶ ἱερωσύνης ἠξιῶσθαι. ἐν ταύτηι εὔχομαι καὶ τὸν βίον τοῦτον ὑπεξελθεῖν καὶ ταύτην φυλάξαι ἐν τῆι ἀναστάσει τῶι δεσπότηι Χριστῶι.

14 Ἰωάννης ἐπίσκοπος Προικοννήσου εἶπεν· Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Προθυμίωι καὶ οὕτω πιστεύω.

15 Κωνστάντιος ἐπίσκοπος Φρυγίας Πακατιανῆς εἶπε· Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι καὶ οὕτως πιστεύω.

16 Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπεν· Ἐν διαφόροις λέξεσιν ἕνα καὶ τὸν αὐτὸν κανόνα τῆς πίστεως εὑρίσκομεν, ἐπειδὴ καὶ τῶι αὐτῶι ἁγίωι πνεύματι ἑκάτερα ὑπηγόρευται. τοῖς οὖν ὀρθοδόξως καὶ ἀκριβῶς εἰρημένοις καὶ ἐκτεθειμένοις παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ Νίκαιαν σύμφωνα καὶ συνωιδὰ τὴν ἐπιστολὴν ἔχουσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου κατανοήσαντες, τούτοις καὶ ἡμεῖς συναινοῦμεν καὶ συντιθέμεθα, εὑρόντες τὴν ἐπιστολὴν ὥσπερ τι μύρον τὴν ἐκείνων πίστιν εἰς εὐωδίαν ἀνανεουμένην.

17 Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπεν· Συνήθως ἐπακολουθῶ τῆι ὀρθῆι πίστει ταύτης τῆς ἁγίας καὶ μεγάλης συνόδου καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου τοῦ ἀρχιεπισκόπου καὶ τῆι ἐν Νικαίαι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἡμῶν πατέρων τῶν τιη.

L III 467 18 Φίδος ἐπίσκοπος Ἰόππης εἶπεν· Θαυμάζω τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι γενομένων, θαυμάζω δὲ οὐδὲν ἧττον καὶ τὴν νυνὶ ἀναγνωσθεῖσαν ἐπιστολὴν τοῦ κατὰ πίστιν ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, σύμφωνα τῆι ἐκείνων πίστει ὥσπερ ἐξ ἁγίου πνεύματος γεγραμμένην, καὶ πιστεύω τὸν μὴ ἐμμένοντα τῆι αὐτῆι πίστει τοῦ ἁγίου πνεύματος ἐκβεβλῆσθαι τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας.

19 Παυλιανὸς ἐπίσκοπος Μαιουμᾶ Παλαιστίνης πρώτης εἶπεν· Τὴν τῶν πατέρων πίστιν, ἣν μεμαθήκαμεν παρὰ τῶν τιη ἐν τῆι κατὰ Νίκαιαν, ταύτην παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου γραφεῖσαν ἐπέγνων καὶ τοῦ ἁγίου πνεύματος σύμφωνα τὰ παρ' αὐτοῦ θεσπισθέντα ἐθαυμάσαμεν καὶ κατέχομεν καὶ ἀκολουθοῦμεν.

---

V [inde a 22], P [= hk], S [pauca abscissa], D [= mn], A

2 ἀρχιεπισκόπου] ἐπισκόπου ἡμῶν A  3 συμφωνούσησ P  4 τε PA σε SD  ὀρθότητοσ PA ὀρθῆσ πίστεωσ SD  5 κομάνησ SD κονώνου P κανάησ A  οὐδένα τρόπον A  5/6 τὴν ἔκθεσιν male inserta  8 τριακοσίων δεκαοκτὼ PD  μόναισ DA  τετάχθαι D  9 καὶ ἱερωσύνησ ἠξιῶσθαι om. A  9/10 ἐν τῇ ἀναστάσει ταύτην φυλάξαι P  10 τῇ om. S  11 προικονήσου Pn  κἀγὼ om. A  13/14 post 21 coll. A  13 κωνσταντῖνοσ P  καπατιανῆσ P  15 ἰουαλεριανὸσ P  ταῖσ λέξεσιν SD  16 πίστεως] ὀρθοδοξίασ PA  ἐπειδὴ δὲ P  17 οὖν ὀρθοδόξως] συνορθοδόξοισ P  ἐκθεμένοισ P  18/19 καὶ θεοφιλεστάτου om. P  19 ταύτη A  20 μύρον τί A  23/24 ἀρχιεπισκόπου [ἐπισκόπου V] κυρίλλου VD  24/25 καὶ ὁσιωτάτων om. VP  25 πατέρων ἡμῶν SD  τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] VPDA  26 φεῖδοσ VPA  ἰόπησ P  ἁγίων om. A  τριακοσίων δεκαοκτὼ PD  27 κατ' οὐδὲν SD  καὶ om. S  28 ὁσιωτάτου SD  κυρίλλου τοῦ ἐπισκόπου A  κυρίλλω S  σύμφωνον V  29 ἐκείνων PSDA ἐν νικαίᾳ V  30 ἁγίας καὶ om. V  καὶ om. A  31 παυλῖνοσ DA, abscissum in S  τῆσ πρώτησ SD  τῶν πατέρων om. A  32 ἀπὸ A  τριακοσίων δεκαοκτὼ PD  33 ἐπιγνόντεσ VA  τὰ om. S

20 Δανιὴλ ἐπίσκοπος Κολωνείας Καππαδοκίας εἶπεν· Αὐτὰ τὰ ῥήματα καὶ τὰς συλλαβὰς σχεδὸν εἰπεῖν τὰς ἐμπεριεχομένας τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι κατὰ καιρὸν τὴν σύνοδον ποιησαμένων καὶ τῶν ἐγγεγραμμένων δογμάτων τὰ νοήματα ἐν τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου πατρὸς ἡμῶν Κυρίλλου νοήσας ὥσπερ τινὰς πατρῴους χαρακτῆρας διδάξας αὐτός τε παραλαβὼν τὴν διδασκαλίαν ταύτην καὶ ἐν τῆι ἁγίαι ἐκκλησίαι τῆι ἐγχειρισθείσηι μοι ταύτην ἐρριζωμένην καὶ ἐμπεπιστευμένην καὶ ἐνεσπαρμένην παρὰ τῶν ἁγίων πατέρων ἐγνωκώς, ὁμολογῶ σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου τῆι ἐκθέσει τῶν ἁγίων πατέρων, οὐ μὴν ἀλλὰ καὶ τὸ ἡμέτερον φρόνημα, ἐμοῦ τε καὶ τῆς ὑπ' ἐμὲ ἁγίας ἐκκλησίας, τοῦτο τυγχάνει, ἐν ὀνόματι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. M IIII 1145

21 Ἀνύσιος ἐπίσκοπος Θηβῶν εἶπεν· Καθάπερ τῆι παρουσίαι κοινῆι πάντων τῶν ἁγιωτάτων ἐπισκόπων καὶ τῆι διανοίαι συνημμένος, αἰσθανόμενος τῆς ὀρθῆς ὑπαγορείας τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συντίθεμαι ταύτηι ὁμοιουμένηι καὶ συμφώνωι οὔσηι τῆι τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν συνειλεγμένων ἐκθέσει.

22 Καλλικράτης ἐπίσκοπος Ναυπάκτου εἶπεν· Συντίθεμαι τῆι ἐπιστολῆι τῆι ἐκτεθείσηι παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνωι οὔσηι τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν συναχθέντων ἐν τῆι κατὰ Νίκαιαν ἁγίαι συνόδωι.

23 Δόμνος ἐπίσκοπος Ὀποῦντος εἶπεν· Εἴ τι καί ποτε ἔδοξε παρὰ τοῖς ἀγνοοῦσι τὴν ἀκριβῆ πίστιν, ἔδοξεν οὐ καλῶς· ἀλλ' ἡμεῖς γνωρίζομεν τὰ τυπωθέντα καὶ νῦν δικαίως παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἐξισωθέντα τῆι κατὰ Νίκαιαν ἁγίαι συνόδωι τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, ὧν πάντως μετὰ τούτων φυλάττειν δικαίως γνωρίζομεν. καὶ πιστεύω εἰς τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα καὶ εὔχομαι μέχρι τοῦ τῆς ζωῆς μου χρόνου ἐν τούτωι εἶναι καὶ ἐν τούτωι ἀποθανεῖν.

24 Νικίας ἐπίσκοπος Μεγάρων εἶπεν· Ὥσπερ ἓν φρονοῦντες ἐληλύθαμεν, οὕτω καὶ ἓν λέγειν ἐδιδάχθημεν. συμφώνων τοίνυν ὄντων τῶν τε παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου L III 470
Κυρίλλου καὶ τῶν παρὰ τῶν ἁγίων πατέρων πάλαι ἐκτεθέντων κατὰ Νίκαιαν, σύμψηφοι ἐσμέν, μηδὲν ἀμφιβάλλοντες περὶ τῶν καλῶς ἤδη καὶ νῦν τετυπωμένων.

25 Ῥωμανὸς ἐπίσκοπος Ῥαφίας εἶπεν· Σύμφωνα τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι συνελθόντων κἀγὼ φρονῶ, καὶ τῆι ἐπιστολῆι δὲ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου συντίθεμαι, συνωιδὰ περιεχούσηι τῆι πίστει τῶν ἁγίων πατέρων.

26 Γρηγόριος ἐπίσκοπος Κερασοῦντος εἶπεν· Συνωιδὰ τῆς ἁγίας συνόδου τῆς κατὰ Νίκαιαν πίστεως καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου περιέχει, καὶ ταύτηι ἀρεσθεὶς συμφώνωι οὔσηι τῆς ἐκκλησιαστικῆς πίστεως, συντίθεμαι ταύτηι

---

V, P [= hk], S [nonnulla abscissa], D [= mn], A

1 κολωνίασ V 3 τὴν om. A γεγραμμένων VP ῥημάτων P νοημάτων A δόγματα A 4 ἐπισκόπου καὶ S 5 conicio διδαξάσηι 6 7 ἐνεσπαρμένην καὶ ἐμπεπιστευμένην καὶ ἐρριζομένην P 7 πατέρων ἡμῶν V ἀνεγνωκὼσ D 9 ταυτὸ A 10 τοῦ πατρὸς — πνεύματος om. V 11 12 ἁγίων PA 12 αἰσθόμενοσ SDA ἐπαγορείασ A ὑπηγορίασ V abscissum in S 13 ὡμοιωμένη P ὁμοία V καὶ om. S 13 14 συμφωνούση A 14 ἁγίων καὶ μακαρίων A 16 ἡμῶν πρσ̄ P καὶ ἀρχιεπισκόπου om. A 17 μακαρίων καὶ ἁγίων P ἁγίων S τῶν om. A 18 ἁγία καὶ μακαρία DA 20 ἔδοξεν om. A 22 τι̅ καὶ η̅ V καὶ om. PD θεοφόρων πατέρων V ὧν PSDA ἣν V postulatur ἃ φυλάττειν om. P 23 τὸν om. D abscissum in S τὸν υ̅ν̅ A τὸ om. PSD 25 νίκασ P 26 δεδιδάγμεθα DA 26/27 τοῦ — παρὰ om. P 26 περὶ V 27 τῶν κατὰ A κατὰ Νίκαιαν om. V 28 οὐδὲν P ἐν οὐδενὶ D abscissum in S ἤδη καὶ νῦν VD ἤδη νῦν P ἤδη A abscissum in S 29 ῥαφείασ SD 30 τριακοσίων δεκαοκτὼ PD δὲ om. A 31 32 τῶν αὐτῶν ἁγίων V 33 τῆ ἁγία συνόδω SD postulatur τῆι τῆς — συνόδου — πίστει 34 καὶ θεοφιλεστάτου om. V 35 postulatur συμφώνου οὔσης κἀγὼ ταύτηι P om. A

M IIII 1148 καὶ συναινῶ, παραγενόμενος οὐ μόνον ὑπὲρ ἐμαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῆς μητροπόλεως ἐπισκόπου Ἐλευσίου Νεοκαισαρείας τοῦ θεοσεβεστάτου, ταύτας τὰς ἐντολὰς παρ' ἐκείνου δεξάμενος.

27 Νουνέχιος ἐπίσκοπος Σέλγης τῆς Παμφυλίας εἶπεν· Ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου, συμφώνου οὔσης κατὰ πάντα τῆι πίστει τῆι κατὰ Νίκαιαν παρὰ τῶν ἁγίων πατέρων γεγενημένηι, σύμφημι κἀγὼ καὶ οὕτω πιστεύω καὶ ἐν ταύτηι τῆι πίστει εὔχομαι συζήσας παραστῆναι τῶι βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας, ταύτην τὴν ὀρθόδοξον φυλάττων πίστιν.

28 Σόλων ἐπίσκοπος Καραλίας τῆς Παμφυλίας εἶπεν· Καθὼς ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἀρχιεπίσκοπος Κύριλλος τὴν κατὰ Χριστὸν πίστιν παραδέδωκε καὶ παραδίδωσι, σύμφωνον οὖσαν κατὰ πάντα τῆι ἐν Νικαίαι ἁγίαι καὶ μεγάληι συνόδωι, οὕτω καὶ ἐβαπτίσθην καὶ οὕτως πιστεύω καὶ εὔχομαι φυλάξαι ἕως ἐσχάτης ἀναπνοῆς.

29 Ἀκάκιος ἐπίσκοπος Κοτέννων τῆς Παμφυλίας εἶπεν· Ἐπακούσας τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνου οὔσης τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ πάντα τῆς ὀρθοδόξου πίστεως, ὁμολογῶ κἀγὼ οὕτως ἔχειν καὶ πιστεύειν καὶ εὔχομαι φυλάξαι ἕως τέλους.

30 Ταριανὸς ἐπίσκοπος Λύρβης τῆς Παμφυλίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συναινῶ τοῖς δόγμασι τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων καὶ τῆι ἐπιστολῆι τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου Κυρίλλου.

31 Νεκτάριος ἐπίσκοπος Σεννέων τῆς Παμφυλίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ πιστεύω καὶ συναινῶ τοῖς δόγμασι τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων καὶ τῆι ἐπιστολῆι τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου Κυρίλλου.

32 Ματιδιανὸς ἐπίσκοπος Κορακησίων τῆς Παμφυλίας εἶπε· Συμφωνῶ τῆι ὁμολογίαι τῆι γεγενημένηι περὶ τῆς ὀρθῆς καὶ ὑγιοῦς πίστεως παρὰ τῶν νῦν τε παρόντων ἁγίων πατέρων καὶ τῶν τὸ τηνικαῦτα οὐκ ἀθεεὶ τὴν ἔκθεσιν τὴν περὶ τῆς πίστεως πεποιημένων L III 471 ἐν τῆι Νικαέων πόλει, γνωρίσας ταύτην ἀποστολικὴν οὖσαν, ἐν ἧι καὶ εὔχομαι εἶναι καὶ ἀκέραιον ταύτην μέχρις ἐσχάτης ἀναπνοῆς μου φυλάξαι.

33 Νήσιος ἐπίσκοπος Κορυβρασσοῦ τῆς Παμφυλίας εἶπε· Τῆι ἁγίαι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν τῆι Νικαέων καὶ ἡ ὑπαναγνωσθεῖσα σήμερον ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου συνεφώνησε, καὶ ταύτην τὴν πίστιν εὔχομαι φυλάξαι μέχρις ἐσχάτης ἀναπνοῆς.

34 Ἐπιφάνιος ἐπίσκοπος Κρατίας εἶπεν· Κἀγὼ συναινῶ τοῖς τῶν ἁγίων πατέρων ἡμῶν

---

V, P [= hk] S [pauca abscissa], D [= mn], A

1 τοῦ om. P   2 ἐπισκόπου om. S   θεοφιλεστάτου A   αὐτοῦ A   4 σέλγησ A πέργησ VPD abscissum in S   5 ἐπισκόπου πρσ̄ A   ἀρχιεπισκόπου κυρίλλου SD   συμφώνω οὔση SDA   8 ἔνδοξον SD   9 παραλίασ P   παμφύλου P   10 ἐπίσκοποσ P   παρέδωκε VP   11 τῆ ἐν νικαία κατὰ πάντα A   τῆ ἁγία καὶ μεγάλη συνόδω τῆ ἐν νικαία PS   11/12 οὕτωσ ἐβαπτίσθην VP   13 Ἀκάκιος — Κοτέννων] δαριανὸσ ἐπίσκοποσ λύρβησ V   κοτέννων DA κοτένιων S κοτυαέων P   παμφύλου P   14 συμφωνούσησ VP   15 συνελθόντων ἐκθέσει A   16 κἀγὼ ἕωσ τέλουσ φυλάττειν SD   17—19 om. V cf. ad 13   17 τραιανὸσ P   παμφύλου P   18 ἡμῶν om. PA   καὶ ἐπισκόπων SDA τῶν ἐν νικαία συνελθόντων P   19 κυρίλλου SD ἐπισκόπου κυρίλλου P κυρίλλου τοῦ ἐπισκόπου A   20 Σεννέων scripsi ἐννέων VP ἐνέων A σενεννίων SD   τῆσ παμφύλου P om. A   20/21 κἀγὼ — συναινῶ VPA συμφωνῶ τῆ ὁμολογία τῆ γεγενημένη καὶ τὰ αὐτὰ συναινῶ καὶ πιστεύω καὶ SD   22 θεοσεβεστάτου V   ἐπισκόπου κυρίλλου PD ἀρχιεπισκόπου κυρίλλου V   23 κορακισίων VSD κησίων P   τῆσ παμφύλου P om. A   24 γενομένη P   νῦν τε VP νυνὶ SDA   25 τὸ om. A   ἀθεὶ V   τὴν περὶ om. A   28—31 om. V   28 νίσιοσ P κορυβρασοῦ S κορυβρασίου A κορυβάσου P   παμφύλου P   29 ἐν νικαία PA   29/30 ἐπιστολὴ σήμερον A   30 παρὰ τοῦ ὁσιωτάτου P   32 κρατίασ A κράτησ V κρατείασ PSD   ἡμῶν om. VA

καὶ ἐπισκόπων δόγμασι καὶ τῆι ἐπιστολῆι τῆι γραφείσηι παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ εὔχομαι μέχρι τελευταίας ἀναπνοῆς ἐν τούτοις με διαμεῖναι.

35 Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ἐπαρχίας Ὀνωριάδος εἶπε· Συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου ὡς κατὰ πάντα τρόπον ἑπομένηι τῆι πίστει τῶν ἁγίων πατέρων τῶν τιη̅ τῶν ἐν Νικαίαι συνελθόντων, καὶ οὕτως ἔχοντες εὐχόμεθα διατελέσαι τὸν ὡρισμένον παρὰ τοῦ κρείττονος ἡμῖν χρόνον. M IIII 1149

36 Σιλουανὸς ἐπίσκοπος Κερατάπων Φρυγίας Πακατιανῆς εἶπεν· Εἰ καὶ βραδύτερον ἠξίωμαι τοῦ ἁγίου βαπτίσματος, πλὴν εἰς ταύτην τὴν πίστιν βεβάπτισμαι τήν τε ἐν Νικαίαι ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τιη̅ ἐπισκόπων καὶ εἰς τὴν σήμερον πλατύτερον ἡμῖν διὰ τῆς ἐπιστολῆς ἐξηγηθεῖσαν τοῦ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνοῦσαν τῆι προλαβούσηι. εἰς ταύτην καὶ πλείστους ἐβάπτισα, ταύτην καὶ φυλάξαι ἄσπιλον εὔχομαι ἕως ἡμέρας τῆς ἀναστάσεως καὶ προσενέγκαι Χριστῶι.

37 Εὐτρόπιος ἐπίσκοπος Ἐτένων τῆς Παμφυλίας εἶπεν· Ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, συμφωνούσης κατὰ πάντα πᾶσι τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη̅ τῶν ἐν Νικαίαι συναχθέντων, σύμφημι καὶ συναινῶ, καὶ ἐν ταύτηι εὔχομαι τῆι ὁμολογίαι παραστῆναι τῶι δεσπότηι Χριστῶι.

38 Σεκουνδιανὸς ἐπίσκοπος Θεσσαλίας ἐπαρχίας πόλεως Λαμίας εἶπεν· Καὶ πεπίστευκα καὶ πιστεύω καὶ οὕτως ἐδόξασα καὶ δοξάζω κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν κατὰ Νίκαιαν τιη̅ ἐπισκόπων, ἧιτινι ἀκόλουθος καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου.

39 Θεόδωρος ἐπίσκοπος Θεσσαλίας ἐπαρχίας πόλεως Ἐχιναίου εἶπεν· Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι καὶ τούτοις συναινῶ.

40 Ῥουφῖνος ἐπίσκοπος Ταβῶν εἶπε· Κἀγὼ τὰ αὐτὰ φρονῶ τοῖς ἁγιωτάτοις πατράσι τοῖς ἐν Νικαίαι συνελθοῦσι καὶ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, καλῶς καὶ ὀρθῶς περιεχούσηι καὶ συμφώνωι οὔσηι τῆι αὐτῆι ἐκτεθείσηι πίστει.

41 Θεόδωρος ἐπίσκοπος Ἀρινδήλων εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου καλῶς καὶ ὀρθοδόξως περιεχούσηι.

42 Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπεν· Συντίθεμαι κἀγὼ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου L III 474
καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ὁμοίως ἐχούσηι τῆι πίστει τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνελθόντων.

43 Λητόιος ἐπίσκοπος Λιβιάδος εἶπεν· Καθὼς συνέταξαν οἱ ἅγιοι ἡμῶν πατέρες οἱ ἐν Νικαίαι συνελθόντες (ἁρμοδίως γὰρ τῆι ὀρθοδόξωι πίστει τὴν πίστιν ἐξέθεντο), κἀγὼ πιστεύω καὶ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου.

---

VM, P [= hk], S, D [= mn], A

1 θεοφιλεστάτου SDA ἁγιωτάτου VP 2 με om. V 3 ὀνωριάδοσ ἐπαρχίασ A συντιθέμεθα SD 5 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA τῶν om. SD ἔχοντεσ om. SD 7 κεράτων P πακατιανῆσ φρυγίασ SD φρυγίασ καπατιανῆσ VP 9 τριακοσίων δεκαοκτὼ PD 11 εὔχομαι ἄσπιλον SD 11/12 τῆσ ἀναστασίμου ἡμέρασ V 12 προσενεγκεῖν A 13 παμφύλου P 14 καὶ¹ om. P συμφωνοῦσαν P συμφώνω οὔση A 14/15 κατὰ — πᾶσι om. P 15 τοῖσ προλαβοῦσι καὶ ἐκτεθεῖσι P τριακοσίων δεκαοκτὼ PD 16 συμφημι κἀγὼ V 17 πόλεως om A λαμείασ P 18 δοξάσω V 18/19 ἁγίων καὶ μακαρίων PSD μακαρίων καὶ πνευματικῶν V ἁγίων καὶ μακαρίων πνευματικῶν A 19 τριακοσίων δεκαοκτὼ VPDA 21 πόλεωσ ἐπαρχίασ ἐχινεοῦ SD 22 συντίθεμαι D 23 Ταβῶν cf. 33, 41 A 79, 80 24/25 καὶ θεοφιλεστάτου om. A 25 ἡμῶν καὶ om. SD ἡμῶν om. A 26 συμφωνούση SDA 27 θεοδώριτοσ A ἀρινδηλιῶν A ἀρβδήλων P ἀρβήλων VSD cf. 33, 37 καὶ συντίθεμαι om. A 31 κυρίλλου ἐπισκόπου SD ὁμοίωσ PSDA καλῶσ καὶ ὀρθοδόξωσ περιεχούση καὶ ὁμοίωσ V ἡμῶν om. SDA 33 λιτόιοσ SD λητώιοσ A λιβυάδοσ PDA 34 πίστιν ἐξέθεντο] ἔκθεσιν ἐξέθεντο ταύτησ A 35 καὶ ὁσιωτάτου om. VP

44 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπεν· Κἀγὼ τὰ αὐτὰ φρονῶ καὶ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου καλῶς καὶ εὐσεβῶς περιεχούσηι.

45 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως εἶπεν· Κατὰ τὴν πίστιν τῶν ἁγίων πατέρων M IIII 115² ἡμῶν οὕτω κἀγὼ πιστεύω καὶ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου συνωιδὰ περιεχούσηι ταύτηι τῆι πίστει.

46 Σαΐδας ἐπίσκοπος Φαινοῦς εἶπεν· Κατὰ τὴν ὀρθόδοξον πίστιν οὕτω περιέχει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ἧι καὶ συντίθεμαι.

47 Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν· Ἐπειδὴ καλῶς καὶ εὐσεβῶς καὶ ἁρμοζόντως τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων περιέχει ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ταύτηι κἀγὼ συντίθεμαι.

48 Αἰάνης ἐπίσκοπος Συκαμαζόνος εἶπεν· Ὡσαύτως κἀγὼ συντίθεμαι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ἐξακολουθησάσηι τῆι ὀρθοδόξωι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγιωτάτων ἡμῶν πατέρων.

49 Θεοδόσιος ἐπίσκοπος Μασταύρων τῆς Ἀσίας εἶπεν· Τῆι ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν Νικαίαι, λέγω δὴ τῶν τιη, ἐξ ἀρχῆς μέχρι καὶ νῦν πεπιστευκώς, συνωιδὰ περιεχούσηι καὶ τῆι ἐπιστολῆι τῆι γραφείσηι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου πρὸς τὸν εὐλαβέστατον Νεστόριον τὸν ἐπίσκοπον ἐμμένω καὶ πείθομαι, συμφώνωι οὔσηι, ὡς ἔφην, τῆι τῶν πατέρων ψυχωφελεῖ διδασκαλίαι.

50 Ἀλέξανδρος ἐπίσκοπος Ἀρκαδιουπόλεως τῆς Ἀσίας εἶπε· Τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου συνωιδὰ τῆι τῶν ἁγίων πατέρων ἐκτεθείσηι τῶν συναχθέντων ἐν τῆι Νικαέων πόλει, τουτέστι τῶν τιη, πίστει ὁμοφρόνωι οὔσηι καὶ πιστεύω καὶ ἐπίστευσα καὶ οὕτως εὔχομαι φρονεῖν.

51 Μάξιμος ἐπίσκοπος Κύμης τῆς Ἀσίας εἶπεν· Τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου συμφώνωι οὔσηι τῆι ὀρθῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τῶν τιη συναινῶ καὶ συντίθεμαι καὶ ὁμολογῶ ταύτην ὀρθόδοξον εἶναι τὴν πίστιν.

52 Θεοσέβιος ἐπίσκοπος Πριήνης εἶπεν· Τῆι ἐκτεθείσηι τῶν ἁγίων πατέρων τῶν τιη L III 475 πιστεύω πίστει, καὶ παραδέδωκα ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, ἅμα καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῆι γραφείσηι πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συνωιδὰ ἐχούσηι τῆι πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι.

V, P [= hk], S, D [= mn], A

1 τῶν παρεμβολῶν SD 2 καὶ ὁσιωτάτου om. A 3/4 τὴν τῶν — ἡμῶν πίστιν SD 4/5 συντίθεμαι τοῦ — κυρίλλου τῆ ἐπιστολῆ A 5 ταύτηι om. A 6 φαεινῆσ V φαινῆσ P 7 καὶ — ἐπισκόπου om. A κυρίλλου τοῦ ἐπισκόπου P καὶ om. VS 9 ἐν νικαία συνελθόντων SD συναχθέντων A 10 ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ VP ἡ ἐπιστολὴ A 11 ταῦτα P 12 αἰάνησ V ἀιανὸσ PA ἀιανόησ SD συκαμάζωνοσ Sn συκαμόζονοσ P ἀμαζόνοσ V 14 ἁγίων A πατέρων ἡμῶν SD 16 συναχθέντων SDA τριακοσίων δεκαοκτὼ PD καὶ μέχρι καὶ P καὶ μέχρι A 17 τῆι γραφείσηι παρὰ om. V ὁσιωτάτου SDA ἁγιωτάτου VP 18 ἐπισκόπου om. P πρὸς — ἐπίσκοπον om. V τὸν ἐπίσκοπον om. A 19 πείθομαι VPA συντίθεμαι SD συμφώνωι — διδασκαλίαι om. V συμφωνούση A ψυχωφελῆ τῶν πατέρων P 20 τῆσ ἐπιστολῆσ VP 21/22 συνωιδὰ — οὔσηι] ὁμοίασ οὔσησ τῆ πίστει τῆ παρὰ τῶν ἁγίων πατέρων ἐκτεθείση V 21 συνωιδὰ eiciendum ἐκτεθείσησ P ἐκθέσει περιεχούση A τῶν om. S 22 τριακοσίων δεκαοκτὼ PDA πίστει] καὶ A 24 κύβησ P τῆς Ἀσίας om. P 25—26 τῆ πίστει καὶ τῆ ἐπιστολῆ τῶν δηλωθέντων καὶ ἐγὼ συναινῶ V 24 τῆσ ἐπιστολῆσ PS 25 ἡμῶν καὶ DA συμφωνούση A συμφωνούσησ P 26 παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν συνελθόντων ἐν νικαία P τῶν[3] om. A τριακοσίων δεκαοκτὼ D(P) συναινῶ ταύτη PDA 27 καὶ ὁμολογῶ — πίστιν om. V τὴν ὀρθόδοξον εἶναι πίστιν P 28 θεοδόσιοσ P cf. 33, 89 A 73, 89 ἐκτεθείση P ἐκτεθείση παρὰ SD ἐκθέσει VA ἁγίων — τιη [τριακοσίων δεκαοκτὼ D SD τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] ἁγίων πατέρων VPA 29 πίστει om. VA πίστει ἣν D 30 θεοφιλεστάτου VPA ὁσιωτάτου SD 31 συνωιδὰ — Νικαίαι om. V

53 Εὐτρόπιος ἐπίσκοπος Εὐάζων εἶπεν· Κατὰ τὴν πίστιν τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῆι ἐπιστολῆι τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου τῆι γραφείσηι πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συμφώνωι οὔσηι τῆι τῶν ἁγίων πατέρων πίστει, ταύτηι πιστεύω καὶ συναινῶ καὶ πεπίστευκα.

54 Εὐθάλιος ἐπίσκοπος Κολοφῶνος τῆς Ἀσίας εἶπε· Τῆι ἁγίαι πίστει τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῆι ἐπιστολῆι τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου τῆι γραφείσηι πρὸς τὸν εὐλαβέστατον Νεστόριον ὁμοφρόνωι οὔσηι συντίθεμαι καὶ συναινῶ καὶ κατὰ ταύτην πιστεύω τὴν παράδοσιν.

55 Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας εἶπεν· Τῆι εὐσεβῶς καὶ φιλοχρίστως ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων ἐν τῆι Νικαέων πόλει σύμφωνα ὁρῶν τὰ γράμματα τοῦ θεο- M IIII 1153
φιλεστάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου, συντίθεμαι καὶ συναρέσκομαι, οὕτω φρονήσας μέχρι τέλους ἄτρωτον διαφυλάξαι.

56 Λουκιανὸς ἐπίσκοπος Τοπηρίου εἶπεν· Ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου, ἧς ἐπέστειλε τῶι εὐλαβεστάτωι Νεστορίωι, ἀρέσκομαι τῆι ὑπαγορείαι καὶ σύνωιδὰ κατὰ πάντα εὑρίσκων τῆι ἁγίαι συνόδωι τῆι εἰς τὴν Νικαέων μητρόπολιν ἐκτεθείσηι συναρέσκομαι, ἄτρωτον αὐτὴν μέχρι τέλους διαφυλάττων.

57 Ἐννέπιος ἐπίσκοπος Μαξιμιανουπόλεως εἶπεν· Τῆι παρὰ τῶν ὁσιωτάτων πατέρων ἐκτεθείσηι πίστει ἐν τῆι Νικαέων μητροπόλει ἀναγνοὺς σύμφωνον οὖσαν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου γραφεῖσαν πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συναρέσκομαι καὶ συντίθεμαι οὕτω φρονεῖν καὶ πιστεύω ταύτην ἀσάλευτον διαφυλάξαι.

58 Στέφανος ἐπίσκοπος Δίου εἶπεν· Ἀνέγνωμεν σύμφωνον τυγχάνουσαν τὴν ἐπιστολὴν τοῦ τρισμακαρίου πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου τῆι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων τιη πατέρων καὶ ἐπισκόπων τῶν ἐν Νικαίᾳ συνελθόντων· ὅθεν καὶ αὐτὸς συναινῶ ταύτηι καὶ εἰς ταύτην ἐπίστευσα.

59 Μόδεστος ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως τῆς Φρυγίας εἶπεν· Κἀγὼ ἐμμένω τῆι ἐκτεθείσηι πίστει ὑπὸ τῶν ἁγίων πατέρων τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι συνελθόντων, οὐ μὴν ἀλλὰ καὶ τῆι νυνὶ ἀναγνωσθείσηι ἐπιστολῆι ὑπὸ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, τῆι γραφείσηι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον συμφώνως ἐκτεθείσηι τῆι πίστει τῶν προλεχθέντων ἁγίων πατέρων.

---

VM, P [= hk]. S, D [= mn]. A

1 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA   2/3 τῆι — Νεστόριον om. VD   3/4 τῆι τῶν — πεπίστευκα] καὶ αὐτὸσ ἐπίστευσα καὶ πιστεύω καὶ οὕτωσ εὔχομαι ἀποθανεῖν V   3 καὶ τῆ A   4 ταύτη P ταύτη καὶ A καὶ SD   πιστεύω PA πείθομαι SD   καὶ πεπίστευκα om. A   5—8 om. V   5 τῆς Ἀσίας om. A   τῆι² om. P   ἁγίων om. PA   6 θεοφιλεστάτου καὶ ὁσιωτάτου PA ὁσιωτάτου καὶ θεοσεβεστάτου SD   7 συμφώνω SD   7/8 συντίθεμαι PA καὶ πείθομαι SD   8 παραίνεσιν PS   9/10 τῆσ — ἐκτεθείσησ πίστεωσ VP   10 πατέρων τῶν P   πόλει om. P   11 καὶ ὁσιωτάτου om. A   κυρίλλου SD ἐπισκόπου κυρίλλου A ἀρχιεπισκόπου κυρίλλου VP   12 μέχρι om. V   13—16 om. V   13 τοπηρίου A τοπήρου SD ποτήρου P   13/14 θεοφιλεστάτου καὶ ὁσιωτάτου PA ἁγιωτάτου καὶ θεοφιλεστάτου SD   14 ἀπέστειλε A ἐπιστέλλει P   15 ἐπαγορεία A ὑπαγορία S   εὑρίσκω DA   15/16 ἐν τῆ — μητροπόλει A   16 ἐκτεθείσηι om. A   17 ἀννέπιοσ P   18 ἐν — μητροπόλει om. A   πόλει VP   οὖσαν SD ὑπάρχειν VPA   19/20 γραφεῖσαν — Νεστόριον om. V   19/20 νεστόριον τὸν εὐλαβέστατον PSD   20/21 ταύτην εἶναι βεβαίαν καὶ ἀσάλευτον ταύτην διαφυλάττω A   22 συνωδὸν P   τυγχάνειν VPA   23 τρισμακαρίου A τρισμάκαροσ V μακαρίου P ἁγιωτάτου καὶ τρισμακαρίου SD   ἡμῶν om. P   παρὰ VA   ἁγίων om. PA   23/24 τιη — ἐπισκόπων] καὶ θεοφόρων V   23 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA   24 αὐτῆ SD   εἰς ταύτην [αὐτὴν SD] ἐπίστευσα SDA ταύτη ἐπίστευσα καὶ πιστεύω V ταύτην ἐπίσταμαι P   25 τῆς Φρυγίας falso additum   26 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PSDA   ἐπισκόπων om. V   27—29 οὐ — πατέρων] ὅθεν καὶ αὐτὸσ συναινῶ ταύτη καὶ ταύτη ἐπίστευσα P   27 νῦν A   28 ἐπίσκοπον A om. VSD

60 Ἀφόβιος ἐπίσκοπος Κολόης εἶπε· Παραναγνωσθείσης τῆι ἁγίαι συνόδωι τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, συνωιδὰ ἐχούσης τῆι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη, ταύτηι τῆι πίστει καὶ συντίθεμαι καὶ πιστεύω.

L III 478 61 Μάξιμος ἐπίσκοπος Ἀσσοῦ τῆς Ἀσίας εἶπεν· Καθὼς ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Μέμνων κατέθετο, ταύτηι τῆι πίστει κἀγὼ καὶ πιστεύω καὶ ἐμμένω.

62 Δωρόθεος ἐπίσκοπος Μυρίνης τῆς Ἀσίας εἶπεν· Τῆι ἐκτεθείσηι πίστει ὑπὸ τῶν ἁγίων πατέρων τῶν τιη συνωιδὰ περιεχούσης τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης παρὰ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου, καὶ πιστεύω καὶ οὕτως φρονῶ.

63 Εὐχάριος ἐπίσκοπος Δυρραχίου εἶπεν· Ὀρθῶς πάνυ καὶ δικαίως κατανοήσας τὴν ἐπιστολὴν ἔχειν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου τὴν πρὸς τὸν εὐλαβέστατον Νεστόριον γραφεῖσαν, εὗρον σύμφωνον οὖσαν τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων ἡμῶν τῶν συνελθόντων ἐν τῆι Νικαέων κατὰ καιρούς, κἀγὼ οὕτως φρονῶ καὶ πιστεύω καὶ εὔχομαι καὶ αὐτὸς καὶ ζῆσαι καὶ τελέσαι ἐν κυρίωι.

M IIII 1156 64 Θεόδωρος ἐπίσκοπος Ἀνινησίας εἶπεν· Συναινῶ καὶ αὐτός τῆι καταθέσει τῶν ἁγίων πατέρων περὶ τῆς ἐκτεθείσης πίστεως ἐν Νικαίαι καὶ τῆι γραφείσηι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου ἐπιστολῆι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον.

65 Εὐδόξιος ἐπίσκοπος Λυκίας πόλεως Χώματος εἶπεν· Ἐθαύμασα τὰ γραφέντα παρὰ τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου τῶι εὐλαβεστάτωι ἐπισκόπωι Νεστορίωι, σύμφωνα ὄντα τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, καὶ συντίθεμαι καὶ ὁμολογῶ οὕτως φρονεῖν, καθὼς καὶ οἱ ἁγιώτατοι ἡμῶν ἐξέθεντο πατέρες.

66 Φίλιππος ἐπίσκοπος Περγάμου εἶπεν· Συντίθεμαι τῆι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων πατέρων πίστει τῶν τιη τῶν συναχθέντων κατὰ τὴν Νικαέων πόλιν κατὰ τοὺς κανόνας ἐκείνους οὕσπερ αὐτοὶ ἐξέθεντο, καὶ τῆι ἐπιστολῆι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συμφώνωι οὔσηι τοῖς αὐτοῖς κανόσι, καὶ οὕτως φρονῶ καὶ πιστεύω.

67 Εὐσέβιος ἐπίσκοπος Μαγνησίας τῆς Ἀσίας εἶπεν· Τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τιη συντίθεμαι καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, περιεχούσηι συνωιδά, καὶ οὕτως φρονῶ καὶ πιστεύω.

68 Εὐτύχιος ἐπίσκοπος τῆς Ἐρυθρῶν πόλεως τῆς Ἀσίας εἶπε· Πεισθεὶς ὄψεσι καὶ

---

V, P [= hk], S, D [= mn], A

1—3 om. V 1 κολοηνῶν P 2 θεοφιλεστάτου ἐπισκόπου] ὁσιωτάτου ἀρχιεπισκόπου A ἐχούση SD 3 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτῶ A] PDA καὶ[1] om. D 4 ἀσοῦ PSD 5 καγὼ — ἐμμένω] καὶ συντίθεμαι καὶ πιστεύω A καὶ[1] om. VP 6 τῆς Ἀσίας om. PA 6/7 ἐκτεθείση ὑπὸ — πατέρων πίστει A 7 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA καὶ τῆσ[1] V 8 καὶ[2] om. VS καὶ[3] om. V 10 εὐχάριοσ SDA εὐάρχιοσ V εὔαρχος P δυρραχίου ἐπίσκοποσ A ἐπίσκοποσ δωρακίου [δορακίου P] VPSD ὀρθῶσ καὶ πάνυ V 11 ἐπισκόπου SD καὶ — ἡμῶν om. SDA 12 συμφωνοῦσαν A 13 ἁγιωτάτων SD συναχθέντων A τῆ νικαία A νικαία VP 14 καὶ φρονῶ καὶ SD καὶ αὐτὸς om. A καὶ[4] om. VA τελειῶσαι V τελειῶσαι τὸν βίον P 15 ἀνινυσίασ SD 16 πίστεωσ τῆσ A 16/17 ὁσιωτάτου καὶ om. SD ἁγιωτάτου καὶ A 17 ἐπίσκοπον om. SD 19 ἁγιωτάτου καὶ ὁσιωτάτου A καὶ ἐπισκόπου om. V 20 ἐπισκόπωι om. SDA 21 καὶ συντίθεμαι] συντίθεμαι οὖν P 21/22 πατέρεσ ἡμῶν ἐξέθεντο V 23 ἐπίσκοπος om. SD ἐκτεθείσηι] πίστει A παρὰ PA 24 πίστει om. A τῶν τιη [τριακοσίων δεκαοκτὼ P] τῶν — πόλιν PA τῶν συναχθέντων κατὰ νίκαιαν V τῶν ἐν νικαία συνελθόντων τιη [τριακοσίων δεκαοκτὼ D] κατὰ τὴν νικαέων πόλιν SD 24/25 κατὰ — ἐξέθεντο om. V 24 καὶ κατὰ D 25 ἁγιωτάτου SD 25/26 συμφωνούση A 26 φρονῶ καὶ om. A 27 τῆς Ἀσίας om. VA 28 ἐν — συνελθόντων om. SD τριακοσίων δεκαοκτὼ PD om. V 28/29 ἁγίου A 31 τῶν D ἐρθρῶν SD post εἶπε coll. τῆ ἐκτεθείση — πατέρων τῶν τιη τῶν ἐν νικαία συνελθόντων καὶ τῆ γραφείση ἐπιστολῆ πρόσ — εὐλαβέστατον ἐπίσκοπον νεστόριον παρὰ — κυρίλλου [cf. p. 23, 2—4] A

ἀποδείξεσι τῶν ἁγίων πατέρων τῶν τε μητροπολιτῶν καὶ ἀπὸ διαφόρων ἐπαρχιῶν κατατιθεμένων τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τιη καὶ τῆι γραφείσηι ἐπιστολῆι πρὸς τὸν εὐλαβέστατον Νεστόριον παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου ὁμολογῶ καὶ πιστεύω.

69 Δυνατὸς ἐπίσκοπος Νικοπόλεως Παλαιᾶς Ἠπείρου εἶπεν· Ἐπακούσας τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης σήμερον ἐπὶ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου, ἧς ἔγραψεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος πατὴρ ἡμῶν καὶ συλλειτουργὸς Κύριλλος πρὸς τὸν εὐλαβέστατον Νεστόριον, εὑρών τε αὐτὴν σύμφωνον καὶ συνομόλογον τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ ἐκθεμένων τὴν ὀρθόδοξον πίστιν τυγχάνουσαν καὶ πάσης ἀποδοχῆς ἀξιώσας τό τε ὕφος τῆς ἐπιστολῆς καὶ τὴν ὀρθόδοξον πίστιν τὴν ἐν αὐτῆι γραφεῖσαν, οὕτω κἀγὼ πιστεύω καὶ συγκατατίθεμαι.

70 Θεόδωρος ἐπίσκοπος πόλεως Δωδώνης εἶπεν· Κἀγὼ συναινῶ καὶ συγκατατίθεμαι L III 479
οἷς κατέθετο ὁ ἁγιώτατος ἐπίσκοπος τῆς μητροπόλεως τῆς ἐμῆς Δυνατός.

71 Ἡρακλέων Τράλλεων ἐπίσκοπος εἶπεν· Κατ' ἴχνος βαίνω τῶν ἁγίων πατέρων καὶ ἐπιμένω τῆι ἐκθέσει τῆς συνόδου τῆς γενομένης ἐν Νικαίαι τῶν τιη ἐπισκόπων τῶν τὴν ὀρθόδοξον κηρυξάντων πίστιν, πάλιν δὲ ἐν τῆι ἁγίαι ταύτηι συνόδωι τῆι κατὰ τὴν Ἐφεσίων μητρόπολιν γινομένηι τὰ αὐτὰ ἀκούσας τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τοῦ πατρὸς ἡμῶν Κυρίλλου ἐν τῆι ἐπιστολῆι κηρύξαντος καὶ μᾶλλον φωτίσαντος καὶ συνωιδὰ τοῖς τιη γνωρίσας ταῦτα, καὶ συναινῶ καὶ εὔχομαι ἐν ταύτηι τῆι πίστει διαμεῖναι καὶ ταῖς εὐχαῖς ὑμῶν οὕτως τελειωθῆναι.

72 Παράλιος ἐπίσκοπος πόλεως Ἀνδράπων εἶπεν· Ἐντραφεὶς τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ
τῶν ἁγίων πατέρων τῶν τιη τῶν κατὰ Νίκαιαν, οὕτω καὶ πιστεύω καὶ συναινῶ, συνωιδὰ δὲ M IIII 1157
εὑρίσκω κατὰ πάντα ἐν πλατυτέραι τῆι ἐπεξηγήσει τῆι αὐτῆι ἐκθέσει καὶ τὰ ἀρτίως ἡμῖν ἀναγνωσθέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς Κυρίλλου γραφέντα καὶ συναινῶ καὶ εὔχομαι ἐν ταύτηι τελειωθῆναι τῆι πίστει.

73 Ἀρχέλαος ἐπίσκοπος πόλεως Μύνδου τῆς Καρίας εἶπεν· Τῆς εὐσεβῶς ἡμῖν καὶ σωτηριωδῶς παραδοθείσης πίστεως παρὰ τῶν ἁγίων καὶ θεοφιλεστάτων πατέρων καὶ ἐπισκόπων τῶν συλλεγέντων ἐν τῆι Νικαέων πόλει ἰσότυπός ἐστι και σύμφωνος ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, καὶ πιστεύειν οὕτως ὁμολογῶ καὶ εὔχομαι.

74 Ἀπελλᾶς ἐπίσκοπος Κιβύρας τῆς Καρίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ τούτοις συναινῶ.

---

V, P [= bk], S, D [= mn], A

1 πατέρων˙ πατέρων τῶν ἐν νικαία συνελθόντων V   καὶ ἀπὸ] τῶν ἀπὸ V   1/2 κατατιθεμένων — τιη om. V   καταθεμένων A   2—4 τῆ ἐκτεθείσῃ — Κυρίλλου hic om. A   2 τριακοσίων δεκαοκτὼ PD   3 εὐλαβέστατον ἐπίσκοπον P   3/4 παρὰ — Κυρίλλου om. V   5 δονάτοσ VPD δωνάτοσ S   ἠπείρου παλαιᾶσ P   6 τῆς¹ om. SD   7 ἐπίσκοποσ πατὴρ SD   7/8 εὐλαβέστατον ἐπίσκοπον A   8 δὲ A post πατέρων superscr. ἐκθέσει A   10 γε D   11/12 πιστεύω — κἀγὼ om. D   11 συντίθεμαι S   12 θεόδωροσ S δωρόθεοσ VPA   πόλεως om. A   συντίθεμαι SD   13 τῆσ ἐμῆσ μητροπόλεωσ A   δονάτοσ VPD   14 τράλεων ἐπίσκοποσ VPSD ἐπίσκοποσ τράλεων A   βαίνων A   15 ἐπιμένων SDA   τριακοσίων δεκαοκτὼ PDA   16 ὀρθοδοξίαν VPA   πίστιν om. VPA   17 μητρόπολιν om. SD   γενομένη VPn γενομένην Sm   τοῦ· om. SD   18 προπάτοροσ A   Κυρίλλου om. SD   φωτίσαντοσ ἡμᾶσ VPA   19 τριακοσίοισ δεκαοκτὼ PD   ἐν A om. VPSD   20 οὕτως om. V   21—25 post 30 coll. A   21 πόλεως om A   ἀδράπων A   ἐντραπεὶσ S   21/22 πίστει τῶν ἁγίων πατέρων τῆ ἐκτεθείσῃ παρὰ τῶν τιη [τριακοσίων δεκαοκτὼ D] SD   22 τριακοσίων δεκαοκτὼ P   τῶν om A   23 εὑρίσκων P   ἐν om A   ἐξηγήσει VP   24 πατρὸσ ἡμῶν P   25 συνεύχομαι VP   26 πόλεως om. SD   ἀμένδου SD   27 ἁγιωτάτων A   καὶ ἐπισκόπων om. V   28 συλλεχθέντων SD   28/29 ἁγιωτάτου καὶ θεοφιλεστάτου VPA θεοφιλεστάτου καὶ θεοσεβεστάτου SD   29 ἡμῶν καὶ PA   πιστεύων A πιστεύω P   καὶ ὁμολογῶ καὶ P   30 εὔχομαι] συντίθεμαι A   31 κιβύρρασ PSD   κἀγὼ τὰ αὐτὰ DA κἀγὼ κατὰ αὐτὰ S κατὰ τὰ αὐτὰ V τὰ αὐτὰ ταῦτα P

75 Θωμᾶς ἐπίσκοπος Δέρβης τῆς Λυκαονίας εἶπεν· Συγκατατίθεμαι καὶ αὐτὸς συνωιδὰ τῆι τῶν πατέρων πίστει καὶ τῆι ἐπιστολῆι τῆι γραφείσηι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ ὁμόφρων καὶ ὁμόπιστός εἰμι ταύτηι.

76 Θεμίστιος ἐπίσκοπος Ἰασοῦ τῆς Καρίας εἶπεν· Κατὰ τὴν ὑγιᾶ πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη καὶ τὴν ὁμόφωνον ἐπιστολὴν τὴν ἀναγνωσθεῖσαν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου πατρὸς ἡμῶν Κυρίλλου τὰ αὐτὰ πιστεύω καὶ κατατίθεμαι.

77 Σπουδάσιος ἐπίσκοπος Κεράμων ἐπαρχίας Καρίας εἶπεν· Τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων καὶ συνέζησα καὶ συζῆν εὔχομαι, ὁμοίως δὲ καὶ τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου τῶι θεοσεβεστάτωι ἐπισκόπωι Νεστορίωι ὁμώνυμον θεασάμενος, καὶ ταύτην καταδέχομαι καὶ οὐδὲν διαφωνοῦσαν τῆς πίστεως εὑρίσκω. διὸ κἀγὼ εἰς ἑκάτερα τούτων καὶ πιστεύω καὶ συμψηφίζομαι.

78 Ἀφθόνητος ἐπίσκοπος Ἡρακλείας τῆς Καρίας εἶπεν· Ἑρμηνεία καὶ θεμέλιός ἐστι τῆς παραδοθείσης ἡμῖν εὐσεβοῦς πίστεως παρὰ τῶν ἐν Νικαίαι ἁγιωτάτων πατέρων καὶ ἐπι- L III 482 σκόπων ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, καὶ κατὰ ἀμφότερα πιστεύειν ὁμολογῶ καὶ εὔχομαι.

79 Φιλητὸς ἐπίσκοπος Ἀμυζόνος τῆς Καρίας εἶπεν· Κατὰ τὴν οὐράνιον καὶ ἔνδοξον πίστιν τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἐν Νικαίαι συνελθόντων εὐλαβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν τιη καὶ κατὰ ταύτην τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς τοῦ ἀρχιεπισκόπου Κυρίλλου σύμφωνον οὖσαν τῆι αὐτῆι ἁγίαι ἐκθέσει καὶ κατατίθεμαι καὶ πιστεύω καὶ σύμψηφός εἰμι τῆι αὐτοῦ θεοσεβείαι.

80 Φανίας ἐπίσκοπος πόλεως Ἁρπάσων τῆς Καρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῆς ἐπουρανίου πίστεως τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν συνελθόντων κατὰ τὴν Νικαέων καὶ κατὰ τὴν ὑπαναγνωσθεῖσαν ἡμῖν ἐπιστολὴν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ κοινοῦ πατρὸς Κυρίλλου τὴν γραφεῖσαν πρὸς τὸν εὐλαβέστατον M IIII 1160 ἐπίσκοπον Νεστόριον ὁμοδύναμον οὖσαν τῆι τῶν ἁγίων πατέρων πίστει τὰ αὐτὰ φρονεῖν ὁμολογῶ καὶ συγκατατίθεμαι.

81 Προμάχιος ἐπίσκοπος Ἀλίνδων τῆς Καρίας εἶπεν· Γινώσκων καὶ αὐτὸς σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆι ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίαι συνελθόντων ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν καὶ ἐπισκόπων κατὰ τὰ αὐτὰ πιστεύω τε καὶ φρονῶ καὶ συγκατατίθεμαι.

82 Σαίδας ἐπίσκοπος Φαινοῦς τῆς Σαλουταρίας Παλαιστίνης εἶπε· Συντίθεμαι τοῖς ἐκτε-

---

V, P [= hk], S, D [= mn], A

1 ζέρβησ A   τῆς Λυκαονίας om. A   2 ἁγίων πατέρων V   2/3 θεοφιλεστάτου P ὁσιωτάτου A   3 ἐπισκόπου PA   σύμφρων P   4 ἰασσοῦ V   ὑγιῆ V ἁγίαν P   5 τριακοσίων δεκαοκτὼ P τῶν τιη SD   7 τῆσ καρίασ P   8 ἐν τῇ A   νικαέων πόλιν V   καὶ¹ om. P   9 καὶ ἀρχιεπισκόπου V   10 καὶ — ἡμῶν om. A   καὶ om. VP   τῶι — Νεστορίωι om. V   ἐπισκόπωι om. SD   ὁμονοοῦσαν P conicio ὁμοδύναμον   11 ταῦτα SD   13 Ἡρακλείας] κεράμων ἐπαρχίασ P   14 πίστεως om. S   παρὰ om. SD   ἐν Νικαίαι om. A   16 κατὰ τὰ PD   17 ἀμυζόνοσ A ἀμαζόνοσ VPSD   τῆς om. A   18 συναχθέντων A   καὶ θεοφιλεστάτων om. V   19 τῶν τριακοσίων δεκαοκτὼ PD καὶ θεοφόρων πατέρων V   κατὰ om. SD παρὰ A om. VPSD   19/20 καὶ θεοφιλεστάτου om. SD   20 πρσ καὶ ἀρχιεπισκόπου SD   συμφωνοῦσαν VP   αὐτῆι om. P   21 καὶ¹ om. A   καὶ² VPD ὡσ SA   22 ἐπιφάνιοσ P   23 τῶν τριακοσίων δεκαοκτὼ P om. SD   23/24 ἐν τῇ A   24 ἐπαναγνωσθεῖσαν P   ἡμῖν om. A   25 ἐπισκόπου om. SD   πρσ ἡμῶν SD   Κυρίλλου om. P   26 ὁμοδυναμοῦσαν A   27 συντίθεμαι P   29 καὶ τὴν V   30 ἐκτεθείσῃ VSD   τῆσ πίστεωσ τῶν PSDA πίστει παρὰ V   30/31 ἁγίων καὶ θεοφόρων V   31 ἡμῶν καὶ ἐπισκόπων om. V καὶ κατὰ [κατ' A] SDA   τὰ αὐτὰ D αὐτὰ SA τοῦτο VP   33 τῆς — Παλαιστίνης om. A παλουταρίασ SD

θεῖσι παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι συνελθούσης τῶν τιη καὶ τοῖς γραφεῖσι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου καὶ τοῖς κατατεθεῖσι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου ἡμῶν Ἰουβεναλίου συνάιδουσι τῆι τῶν πατέρων ἐκθέσει συμψηφίζομαι καὶ συναινῶ.

83 Ἑρμηνεία τῆς καταθέσεως Σενεκίωνος ἐπισκόπου· Σενεκίων ἐπισκόπος ⟨Σ⟩κοδρίας εἶπεν· Κατὰ τὴν ὁρισθεῖσαν πίστιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν τιη τῶν κατὰ Νίκαιαν πνεύματι ἁγίωι πεπληρωμένων, οὐ μὴν δὲ καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου τὴν νυνὶ ἡμῖν ἀναγνωσθεῖσαν πιστεύω καὶ συναινῶ.

84 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου Αὐγουσταμνικῆς εἶπεν· Τῆς πίστεως τῆς ἐκτεθείσης παρὰ τῆς ἁγίας συνόδου τῆς συγκροτηθείσης παρὰ τῶν ἁγίων πατέρων ἐν τῆι Νικαέων καὶ τῆς ἐπιστολῆς τῆς πρὸς τὸν εὐλαβέστατον Νεστόριον γραφείσης παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου μίαν ἐχόντων τὴν διάνοιαν καὶ μίαν πίστιν ἐν διαφόροις συλλαβαῖς, ταύταις κἀγὼ συντίθεμαι καὶ συνδοξάζω καὶ συζῆν εὔχομαι χάριτι τῆς ἁγίας τριάδος.

85 Ἀθανάσιος ἐπίσκοπος Παράλου εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συναινῶ τῆι ὀρθῆι πίστει τοῦ πατρὸς ἡμῶν Κυρίλλου τοῦ ἀρχιεπισκόπου.

86 Εὐσέβιος ἐπίσκοπος Ἀσπώνων πόλεως Γαλατίας εἶπεν· Πολλὴν ἐπιγνοὺς οὖσαν τὴν L III 483
συμφωνίαν τῆς πίστεως τῆς τε διὰ τῆς ἐπιστολῆς ἐκτεθείσης τοῦ θεοφιλεστάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου τῆς τε παρὰ τῶν ὁσιωτάτων πατέρων πάλαι ἐκτεθείσης, συναινῶ καὶ δέχομαι καὶ πιστεύω καὶ τὰ αὐτὰ δοξάζω καὶ διδάσκω.

87 Θέων ἐπίσκοπος Σεθροίτου εἶπεν· Συναινῶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συνωιδὰ ἐκθεμένηι τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν κατὰ καιροὺς συνειλεγμένων ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίαι.

88 Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπε· Συναινῶ τῆι ἀναγνωσθείσηι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου συνωιδὰ ἐκθεμένηι τῆι πίστει τῶν ἁγιωτάτων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι.

89 Μακάριος ἐπίσκοπος Ἀντέου εἶπεν· Εὑρὼν τὴν αὐτὴν τοῦ ἁγίου πνεύματος χάριν ἔν τε τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγιωτάτων πατέρων ἐν Νικαίαι πίστει ἔν τε τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, θαυμάζω καὶ ἐμμένω καὶ εὔχομαι ταύτην διατηρεῖν κυβερνῶσαν καὶ σώιζουσαν τὸ τῶν ἀνθρώπων γένος.

90 Σώπατρος ἐπίσκοπος Σεπτιμιακῆς εἶπεν· Τὸ μὲν πολὺν καταναλῶσαι λόγον καὶ ἐξει- M IIII 1161

---

V, P [= hk], S, D [= mn], A

1 συναχθείσησ A  τριακοσίων δεκαοκτὼ PD  πατέρων καὶ SD  2 ἐπισκόπου [πρσ ἡμῶν V] κυρίλλου VPA  ἁγιωτάτου A  3 θεοφιλεστάτου SD  πατέρων ἡμῶν A  5—9 post 17 coll. SD  5 Ἑρμηνεία — ἐπισκόπου V om. PSDA  σεννεκίων A  κοδρίασ SD πόλεωσ κοδρίασ VPA  6 πατέρων ἡμῶν V  τριακοσίων δεκαοκτὼ PD  7 πνι — πεπληρωμένων PSD πνσ ἁγίου πεπληρωμένων V πεπληρωμένων πνσσ ἁγίου A  οὐ μὴν δὲ PSA οὐ μὴν δὲ ἀλλὰ D ναὶ μὴν V  8 νῦν VPA ἀναγνωσθεῖσαν ἡμῖν V  10 τῆσ αὐγουσταμνικῆσ A om. SD  13 καὶ ἐπισκόπου SD τοῦ ἀρχιεπισκόπου VPA  ἐχουσῶν SD  14 καὶ ταύταισ A  16 παραλίων SD  εἶπεν om. S  18 ἀσπόνων πόλεωσ SD ἀπώνων πόλεωσ P αὐσόνων πόλεωσ V πόλεωσ ἀσπόνων A  γαλατίασ A ἀγκύρασ VPSD  19 τῆσ ἐκτεθείσησ παρὰ V  19/20 θεοφιλεστάτου καὶ θεοσεβεστάτου SD θεοφιλεστάτου καὶ ὁσιωτάτου A θεοσεβεστάτου καὶ θεοφιλεστάτου VP  20 καὶ ἐπισκόπου om. VA πάλιν SD  21 πιστεύω VPA πιστεύω καὶ τὰ αὐτὰ πιστεύω SD  καὶ³ — διδάσκω om. V  τὰ αὐτὰ SD ταῦτα PA  22 σεθροίτου A σοθροίτου VP ἀθροίτησ SD  22/23 ἡμῶν ἀρχιεπισκόπου A  23 ἐκθεμένου P ἐκδεδομένη V  τῆ πίστει τῆ ἐκτεθείση V  24 τῶν om. PA  25—27 om. VP  25 παρὰ τοῦ SD  26 καὶ θεοφιλεστάτου om. A  πατρὸσ ἡμῶν SD ἀρχιεπισκόπου A  26/27 ἁγίων A  28 ἀντέου V ἀντέων P ἀτεοῦσ A παντέου SD  29 ἁγίων A  πατέρων τῶν P ἐν Νικαίαι om. V  30 καὶ ὁσιωτάτου om. VP  32 σωσίπατροσ V  σεπτιμακῆσ A

πεῖν τά θαύματα τῶν ἁγίων πατέρων οὐκ ἐμὸν ἂν εἴη, ἀλλ' ἑτέρου τινὸς αὐχοῦντος μεγίστην παίδευσιν. ἀναγνωσθείσης τοίνυν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης πρὸς Νεστόριον καὶ συνωιδά περιεχούσης τῆι συνόδωι τῆι γενομένηι κατά τὴν Νικαέων πόλιν τῶν τιη, οὕτως κἀγὼ δοξάζω καὶ συναινῶ, καθὼς καὶ οἱ πατέρες ἡμῶν οἱ ἅγιοι καὶ ἐδόξασαν καὶ ἐπίστευσαν.

91 Σαμουὴλ ἐπίσκοπος Δύσθεως Πενταπόλεως εἶπεν· Σύμφωνα πιστεύω τοῖς ἁγίοις πατράσι τοῖς κατὰ τὴν Νικαέων συνειλεγμένοις καὶ οὕτω νοῶ καὶ πιστεύω, ἐπακούσας καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου.

92 Στρατήγιος ἐπίσκοπος τῆς Ἀθριβιτῶν ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Σύμφωνα καὶ ὁμόπιστα τῶν ἁγίων πατέρων ἡμῶν τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι συνεδρευσάντων περιεχούσης τῆς ἐπιστολῆς τῆς ὑπαναγνωσθείσης τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον, ἀναγκαίως καὶ ἐφρόνησα καὶ φρονῶ καὶ ἐπίστευσα καὶ πιστεύω καὶ ταύτηι τῆι πίστει παραμένω χάριτι τῆς ἁγίας τριάδος καὶ ταύτης τῆς ἁγίας συνόδου.

93 Εὐσέβιος ἐπίσκοπος Νειλουπόλεως ἐπαρχίας Ἀρκαδίας εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν συμφωνοῦσαν τῆι πίστει τῶν ἁγίων πατέρων καὶ κατὰ ταύτην πιστεύω τὴν ἔννοιαν.

94 Μαρῖνος ἐπίσκοπος Ἡλιουπολιτῶν ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου ὀρθὴν οὖσαν καὶ σύμφωνον τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι πίστει.

95 Παῦλος ἐπίσκοπος Φραγώνεως εἶπεν· Μίαν καὶ τὴν αὐτὴν διαλάμπουσαν πίστιν ἐκ-
L III 486 τεθεῖσαν μὲν πάλαι διά τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, νῦν δὲ καὶ διὰ τῆς μεγάλης ταύτης συνόδου ἐκ συμφώνου φανεῖσαν καὶ ἐξ αὐτῆς τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου λαμπρότερον κηρυχθεῖσαν ἔχω καὶ πιστεύω καὶ ταύτηι συντίθεμαι, δι' ἧς καὶ σώιζεσθαι πιστεύω, ὁμολογῶν αὐτὴν ἐν Χριστῶι.

96 Μητρόδωρος ἐπίσκοπος Λεόντων εἶπεν· Τῆς ἁγίας πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῆι Νικαέων καὶ τῆς νυνὶ ἀναγνωσθείσης ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης [πάλαι] πρὸς τὸν θεοσεβέστατον Νεστόριον μίαν ἐχουσῶν πίστιν καὶ διάνοιαν ἐν διαφόροις συλλαβαῖς, ἀναγκαίως κἀγὼ ταύτηι συντίθεμαι, τὰ αὐτὰ πιστεύων καὶ δοξάζων καὶ συνομολογῶν χάριτι τῆς ἁγίας τριάδος.

97 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Περιττόν ἐστι τοὺς ἀπὸ Αἰγύπτου ἐπισκόπους τὸν περὶ τῆς ὀρθῆς πίστεως ἀπαιτεῖσθαι λόγον. πᾶσι γάρ εὐσύνοπτον ὅτι τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἐξακολουθοῦμεν καὶ συναινοῦμεν συμφώνωι οὔσηι τῆς τῶν ἁγίων πατέρων πίστεως.

---

V, P [= hk], S, D [= mn], A

1 εἴη λέγειν SD 4 τῶν τριακοσίων δεκαοκτὼ PD om. V 5 καθὼς — ἐπίστευσαν om. V οἱ ἅγιοι πρεσ ἡμῶν A 6 δύσθεοσ SD οὐδυσθέωσ P 7 νικαέων A νικαέων σύνοδον VPSD 8 τῆ ἐπιστολῆ A καὶ θεοφιλεστάτου om. SD καὶ ἀρχιεπισκόπου om. V 9 τῆς om. VP ἀθριβιτῶν A ἀθριβητῶν VP ἀθριγητῶν SD Αὐγουσταμνικῆς om. A 10 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] VPDA 11 θεοφιλεστάτου V θεοφιλεστάτου πρσ ἡμῶν καὶ A 12 τῆς om. A καὶ ἀναγκαίωσ καὶ P ἀναγκαίως VA 13 χάριτι om. SD 14 ταύτης] τῆ εὐχῆ ταύτησ P ἁγίασ θεοφιλοῦσ V ἁγίασ καὶ θεοφιλοῦσ P 16 σύμφωνον οὖσαν A τῆι πίστει om. A κατὰ ταύτην VA κατ' αὐτὴν SD ταύτην P 17 μαριανόσ A ἡλιουπόλεως SDA 18 ἁγιωτάτου καὶ θεοφιλεστάτου A τῆι om. A 19 ἁγίων om. SD τῶν — πίστει] καὶ κατὰ ταύτην πιστεύω τὴν ἔννοιαν A 20 φραγώνεωσ A φραυωνέωσ D φραυωνέοσ S φλαυονέωο V φλαβωνέωσ P 21 τῶν[2] om. VP νυνὶ A καὶ om. DA 22 ἐκ συμφώνου VP σύμφωνον SDA φανεῖσαν VPA οὖσαν SD 24 ἐν χω VPSD ἔχειν A 25 ἐπίσκοπος om SD λεοντῶ VA 26 νῦν A 27 καὶ[2]] τοῦ P ἡμῶν καὶ A πάλαι om. SD 29 ταῦτα P καὶ δοξάζων om. P 32 γάρ ἐστιν VPA 33/34 πατρόσ ἡμῶν [ἡμῶν πατρόσ P] καὶ [καὶ om. SD] ἀρχιεπισκόπου VPSD ἀρχιεπισκόπου ἡμῶν A

98 Ἡρακλείδης ἐπίσκοπος τῆς Ἡρακλεουπολιτῶν Ἀρκαδίας εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων ἡμῶν τῶν συναχθέντων πάλαι ἐν τῆι Νικαέων καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου μίαν καὶ σύμφωνον κηρυττόντων καὶ ὁμολογούντων πίστιν, ἀναγκαίως ἐγὼ τεχθεὶς καὶ τραφεὶς ἐν αὐτῆι μέχρι παντὸς τῆς αὐτῆς εὔχομαι γνώμης εἶναι χάριτι τῆς ἁγίας τριάδος. M IIII 1164

99 Σαβῖνος ἐπίσκοπος Πανὸς ἐπαρχίας Θηβαίδος εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτεθείσης ἐν τῆι Νικαέων πάλαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοσεβεστάτου καὶ εὐλαβεστάτου πατρὸς ἡμῶν Κυρίλλου σύμφωνον ἐχούσης πίστιν, ταύτηι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος.

100 Ἡράκλειος ἐπίσκοπος Ταμιάθεως εἶπεν· Οὐδεμίαν παραλλαγὴν ἐχούσης τῆς ἐπιστολῆς τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου πρὸς τὴν ἐν τῆι Νικαέων πάλαι ἐκτεθεῖσαν πίστιν παρὰ τῶν ἁγίων πατέρων, ἀναγκαίως ταύτηι κἀγὼ συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

101 Ἰσαὰκ ἐπίσκοπος Ἑλεαρχίας εἶπεν· Ὁμολογῶ τὴν αὐτὴν εἶναι συμφωνίαν ἔν τε τῶι συμβόλωι τῶν ἁγίων πατέρων καὶ ἐν τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, ἧι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

102 Εὐτύχιος ἐπίσκοπος Θεοδοσιουπόλεως τῆς Ἀσίας εἶπεν· Ἐκ νέας ἡλικίας καθὼς ἐπιστεύσαμεν, οὐδὲν ἐξενίσθημεν ἐκ τῆς ἀναγνωσθείσης ἐπιστολῆς παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῆς ἐπισταλείσης τῶι εὐλαβεστάτωι Νεστορίωι. σύμφωνος γὰρ εὑρέθη τῆι ἐκτεθείσηι πίστει τῶν τιη πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων, καὶ οὕτως πιστεύω, καθὼς καὶ οἱ ἅγιοι πατέρες ἐξέθεντο ἐν ταύτηι τῆι μεγάληι συνόδωι.

103 Ἀδέλφιος ἐπίσκοπος Σάεως εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτεθείσης ἐν τῆι Νικαέων πάλαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου σύμφωνον ἐχούσης πίστιν, ταύτηι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος. L III 487

104 Ῥοδίων ἐπίσκοπος Παλαιᾶς πόλεως τῆς Ἀσίας εἶπεν· Οὐδὲν ἀπαιδούσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων πόλει, καὶ αὐτὸς οὕτω πιστεύων κατατίθεμαι κατὰ τὴν ἐκτεθεῖσαν παρ' αὐτῶν πίστιν.

105 Νεστόριος ἐπίσκοπος Σιὼν ἐπαρχίας Ἀσίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τὴν γενομένην παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίαι πιστεύσας καὶ αὐτὸς καὶ οὕτως ἔχων, εὗρον συνῳδὰ καὶ τὴν ἐπιστολὴν περιέχουσαν τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, καὶ ταύτηι τῆι

---

V, P [= hk], S, D [= mn], A

1 ἡρακλεουπολιτῶν P ἡρακλεοπολιτῶν VA ἡρακλεωτῶν SD   τῆ πίστει V   2—7 ἡμῶν — πατέρων om. P   2 πάλιν S   τῆ ἐπιστολῆ V   3 μίαν καὶ SD καὶ μίαν καὶ A μίαν V   4 καὶ τεχθεὶσ καὶ A   ἐν αὐτῆι om. VA   7 πόλει PSD   ἐπιστολῆσ τῆσ ἐκτεθείσησ παρὰ A   7/8 θεοσεβεστάτου καὶ εὐλαβεστάτου VP θεοφιλεστάτου καὶ ὁσιωτάτου A εὐλαβεστάτου καὶ θεοσεβεστάτου SD   8 πατρὸσ καὶ ἀρχιεπισκόπου ἡμῶν A   τὴν πίστιν V   ἀναγκαίωσ κἀγὼ SD   11 ἁγιωτάτου καὶ θεοσεβεστάτου SD   καὶ SD τοῦ VPA   12 πάλιν S πόλει P   12/13 κἀγὼ ταύτη A   14—16 post 22 coll. SD   14 ἐλαιαρχίασ A ἐλεάρχου V   σύμφωνον V   15 τῶν — πατέρων om. V   ἀρχιεπισκόπου om. VP   16 ἀναγκαιοτάτωσ P   θῦ SD   18 οὐδὲ P   ἀναγνωσθείσησ ἐπιστολῆσ PSDA ἐπιστολῆς τῆσ γραφείσησ V   ἁγιωτάτου καὶ om. V   19 κυρίλλου τοῦ ἀρχιεπισκόπου A   σταλείσησ V ἀποσταλείσησ SD   θεοφιλεστάτω SD   20 τριακοσίων δεκαοκτὼ PD   πατέρων om. V   20/21 τῶν — Νικαέων om. P   20 συναχθέντων SD   21 αὐτῆ A   24 εὐλαβεστάτου καὶ θεοφιλεστάτου PA θεοφιλεστάτου καὶ εὐλαβεστάτου V   ἐπισκόπου SD πρσ ἡμῶν VPA   25 ἀναγκαίως om. A   26 Ῥόδων 33, 76   τῆς om. SD   27 καὶ ὁσιωτάτου om. SD   κυρίλλου τῆσ πίστεωσ P   τῶν[2] om. S   27/28 συναχθέντων DA   28 ἐν νικαία P   πιστεύειν DA   30 ἐπαρχίασ SDA τῆσ VP   Ἀσίας om. A   30/31 ἔκθεσιν τῶν ἁγίων πατέρων τὴν γενομένην P   31 πατέρων τῶν A   τῆ νικαία D   32 ἔχουσαν SD   ἐπισκόπου ἡμῶν A   ταύτην S

πίστει καὶ ἐκθέσει τῶν ἁγίων πατέρων καὶ αὐτὸς συντίθεμαι καὶ εὔχομαι ἐν ταύτηι τῆι πίστει τὸν λοιπὸν διαβιῶναι τῆς ζωῆς μου χρόνον χάριτι τοῦ Χριστοῦ.

106 Ἀνδήριος ἐπίσκοπος πόλεως Χερσονήσου ἐπαρχίας Κρήτης εἶπεν· Ὥσπερ μύρου πολυτίμου τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων ἀνεωιχθείσης, ἐπὶ πλεῖον ἡμᾶς εὐωδίασε διὰ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου καὶ σύμφωνα καὶ ὁμοούσια ἐχούσης. καὶ αὐτὸς ταύτηι συντίθεμαι καὶ οὕτως πιστεύειν εὔχομαι πάντα τὸν τῆς ζωῆς μου χρόνον.

107 Παῦλος ἐπίσκοπος πόλεως Λάμπης ἐπαρχίας Κρήτης εἶπεν· Τῆς τῶν ἁγίων πατέρων
M IIII 1165 τῶν συνελθόντων ἐν τῆι Νικαέων ἐκτεθείσης πίστεως ὁμόφωνον καὶ ὁμόδοξον ἐπακούσας τε καὶ εὑρὼν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, ταύτηι συντίθεμαι καὶ οὕτως πιστεύω καὶ εὔχομαι μέχρι παντὸς ἐν ταύτηι τῆι πίστει διαμεῖναι.

108 Ζηνόβιος ἐπίσκοπος πόλεως Κνωσοῦ ἐπαρχίας Κρήτης εἶπεν· Φανερᾶς οὔσης τῆς ὀρθοδόξου πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων πόλει ὁμοδόξου τε καὶ ὁμοφώνου τῶν ὀρθῶς τότε τὴν πίστιν ἐκτεθειμένων φανερωθείσης ἡμῖν καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου, ταύτηι συντίθεμαι καὶ συναινῶ καὶ ἐν ταύτηι τῆι πίστει εὔχομαι διαμεῖναι.

109 Μακάριος ἐπίσκοπος Μετηλιτῶν τῆς Αἰγύπτου εἶπεν· Τῆς ἐπιστολῆς ἀναγνωσθείσης τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συμφώνως τε ἐχούσης τῆι ἐκτεθείσηι πίστει διὰ πνεύματος ἁγίου παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, συντίθεμαι τῆι ὁμοπιστίαι, οὐκ ἄλλως ἔχοντος τοῦ δόγματος, ἀλλ' ὡς προεῖπον, τῆς παραδοθείσης τῆι τοῦ θεοῦ ἁγιωτάτηι ἐκκλησίαι παρὰ τῶν ἁγιωτάτων πατέρων πίστεως συμφώνου οὔσης.

110 Λαμπέτιος ἐπίσκοπος Κασίου ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Συντίθεμαι τῆι ἐπιστολῆι τῆι ὑπαναγνωσθείσηι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συμφώνωι οὔσηι τῆι ἐν Νικαίαι συνόδωι καὶ τῆι ἐκτεθείσηι πίστει ὑπὸ τῶν ἁγίων πατέρων.

111 Μακεδόνιος ἐπίσκοπος Ξόεως εἶπεν· Κατὰ τὴν σήμερον ἀναγνωσθείσης ἡμῖν τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι γεγενημένης παρὰ τῶν ὁσιωτάτων πατέρων ἡμῶν, ἔτι γε μὴν καὶ ταύτην πιστουμένου τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου ὡς ὁμόδοξος αὐτῆι τυγχάνει, ταύτηι κἀγὼ συναινῶ καὶ πιστεύω ἐν ὅσωι ζῶ, καὶ οὕτω διδάσκειν με καὶ γεγράφθαι.

---

V, P [= hk], S, D [= mn], A

1 αὐτὸ S   ἐν om. VPS   1/2 αὐτῆ τῆ πίστει A τῆ πίστει ταύτη VPS   2 τὸν λοιπὸν — τοῦ Χριστοῦ] διαμεῖναι VP παραμεῖναι S   διαβιῶσαι A   3 χερρονήσου DA   ἐπαρχίας] τῆσ A   4 ἀνανεωθείσησ SD ἀναγνωσθείσησ A   5 ἁγιωτάτου ἐπισκόπου SD ἁγιωτάτου καὶ θεοσεβεστάτου πρσ ἡμῶν VA ἁγιωτάτου καὶ θεοφιλεστάτου πρσ ἡμῶν καὶ ἀρχιεπισκόπου P   καὶ om. VP   ὁμοούσια PSDA ὁμόδοξα V   ἐχούσης om. SD   6—11 πιστεύειν — οὕτως om. D   6 πιστεύω καὶ εὔχομαι μέχρι παντὸσ ἐν ταύτη τῆ πίστει διαμεῖναι [cf. 10. 11] S   8 πόλεως om. P   9 νικαέων πόλει V   10 καὶ θεοφιλεστάτου om. S   11 διαμένειν A   12 πόλεως om. PA   κνωσσοῦ VSA   14 ὁμοφώνου — τότε] ὁμοφωνούντων ὀρθῶσ τὲ A   ὀρθῶς om. SD   ἐκτεθειμένων P ἐκτιθεμένων VA ἐκθεμένων SD   15 ἐπισκόπου SD πρσ [πρσ ἡμῶν P] καὶ ἐπισκόπου VPA   17—21 om. sed pro 23—24 συμφώνωι — πατέρων habet 18—21 συμφώνωσ τε ἐχούση — συμφώνου οὔσησ V   17 μετηλιτῶν SD μελιτηνῶν A πόλεωσ μετηλέωσ P   εἶπεν om. S   18 ἁγιωτάτου καὶ μακαριωτάτου P μακαριωτάτου καὶ ἁγιωτάτου A   18 ἐχούση V   19 τῆ νικαία D   20 ὁμολογία P   21 ἁγίων A   πίστεως om. S   συμφωνούσησ SDA   22 κασσίου P   ἐπαρχίας Αὐγουσταμνικῆς om. A   23 καὶ θεοφιλεστάτου A καὶ VP om. SD   ἡμῶν VPA πρσ ἡμῶν SD   24 ἁγία ἐν νικαία P ἐν νικαία ἁγία A   καὶ om. A   παρὰ P   πρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ καὶ ταύτη πιστεύω A   25 ξοΰεωσ V ζόεωσ SD ζώεωσ A ξαέων P   ἡμῖν om. A ἡμῖν τῆσ ἐκτεθείσησ πίστεωσ παρὰ P   25/26 τῆ ἁγία συνόδω A   26 παρὰ om. P   ἁγιωτάτων SD θειοτάτων A   ἡμῶν VPA ἡμῶν πίστιν SD   27 ἡμῶν om. SD   27/28 ὁμοδόξου ταύτη τυγχάνοντοσ P   28 αὔτη A συμπιστεύω A   28/29 με καὶ τετράφθαι SD με καὶ τετράφθαι πιστεύω P δεδίδαγμαι VA

112 Ἄμμων ἐπίσκοπος πόλεως Βουτοῦ εἶπεν· Συμφωνῶ τῆι ἁγίαι συνόδωι τῆι κατὰ Νί- L III 490 καιαν γενομένηι παρὰ τῶν ἁγίων πατέρων καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου καὶ αὐτὸς συνευδοκῶ ταύτην διαφυλάξαι μέχρις ἐσχάτης ἡμέρας τῆς ζωῆς μου.

113 Ἀμμώνιος ἐπίσκοπος πόλεως Πανεφύσου ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ταύτηι τῆι πίστει καὶ πιστεύω καὶ ἐμμένω τῶν τιη· ἐπισκόπων καὶ τῆι ἐπιστολῆι τῆι γραφείσηι παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου συντίθεμαι, οὔσηι συμφώνωι τῶν ἁγίων πατέρων, καὶ οὕτως πιστεύω καὶ ἐν αὐτῆι ἀποθανεῖν εὔχομαι.

114 Ἀλύπιος ἐπίσκοπος Σέλης ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἐπήκουσα τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης πρὸς Νεστόριον τὸν εὐλαβέστατον, καὶ ταύτηι ἐστὶ σύμφωνος ἡ ἐκτεθεῖσα πίστις παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν συνελθόντων ἐν τῆι Νικαέων. οὕτως πιστεύω ἐν τῆι ὀρθοδόξωι ταύτηι πίστει καὶ οὕτως εὔχομαι τὸν ἐνθάδε βίον καταλῦσαι καὶ τῶι βήματι τοῦ Χριστοῦ παραστῆναι.

115 Περρέβιος ἐπίσκοπος τῶν Θετταλικῶν σάλτων εἶπεν· Ἀρραγοῦς καὶ ἀκλινοῦς οὔσης τῆς ἐκτεθείσης ἐν Νικαίαι πίστεως παρὰ τῶν ἁγίων πατέρων, καὶ τὴν σύμφωνον ταύτηι δι᾽ ἐπιστολῆς ἐκτεθεῖσαν πίστιν παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου στέργω, καθὼς καὶ οἱ πρὸ ἡμῶν πάντες ἅγιοι πατέρες κατέθεντο.

116 Φιλούμενος ἐπίσκοπος πόλεως Κίννης τῆς Γαλατίας εἶπεν· Σύμφωνον τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου εὑρὼν τῆι ἐκθέσει τῆς πίστεως τῶν M IIII 1168 τιη ἁγίων ἐπισκόπων τῶν κατὰ Νίκαιαν, συντίθεμαι αὐτοῖς καὶ πιστεύω καθὼς αὐτοί τε ἐξέθεντο οἱ ἅγιοι πατέρες καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου περιέχει.

117 Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπεν· Ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἅγιον τό τε ἐν τοῖς πατράσι τοῖς ἐν Νικαίαι ἐνηχῆσαν περὶ τῆς πίστεως καὶ τὸ ἐν τῆι ψυχῆι καὶ γλώττηι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου τοῦ τὴν ἐπιστολὴν ὑπαγορεύσαντος πρὸς διόρθωσιν τῶν παρὰ τοῦ θεοσεβεστάτου Νεστορίου μὴ καλῶς ἐπ᾽ ἐκκλησίας λεχθέντων. διὸ καὶ τὴν συμφωνίαν θαυμάσας, σύμψηφος καὶ αὐτὸς τῆι τῶν πατέρων δόξηι γενόμενος, τὰ αὐτὰ τῆι ἁγιωτάτηι συνόδωι κατατίθεμαι.

118 Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος Πενταπόλεως εἶπεν· Τεθαύμακα τὴν συμφωνίαν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου

V, P [= hk], S, D [= mn], A

1 πόλεως om. SD   βοτοῦ A   σύμφωνα VP συμφώνωσ A   2 γινομένη S γεγενημένη DA   ἡ ἐπιστολὴ P τῇ ἐπιστολῇ ἐχούσῃ A   3 ἡμῶν om. SD   κυρίλλου διαλαμβάνουσα P   συνευδοκῶ] συνευδοκῶν ταύτῃ εὔχομαι P   φυλάξαι A   4 πόλεως om. SD   πανεφύσου V πανεφέσου PDA πανεφέσων S   4/5 ταύτην τὴν πίστιν P   5 πιστεύω καὶ ἐμμένω VDA πιστεύω καὶ φυλάττω S φυλάττω καὶ πιστεύω P   τριακοσίων δεκαοκτὼ PD   γραφείσῃ πρὸσ νεστόριον V   6 ἐπισκόπου D om. S   συμφώνῳ οὔσῃ V οὔσῃ συμφώνῳ τῇ ἐκθέσει P   8 σέλλησ SD   ἐπακούσασ P   9 καὶ θεοσεβεστάτου om. SD   καὶ[2] om. V   10 ταύτῃ — σύμφωνοσ SDA αὕτη — σύμφωνοσ V οὔσησ αὐτῆσ συμφώνου P   10/11 ἡ ἐκτεθεῖσα — Νικαέων] ἡ ἐπιστολή τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων V τῇ πίστει τῶν τριακοσίων δεκαοκτὼ πατέρων τῶν συνελθόντων ἐν νικαίᾳ P   ἐκτεθεῖσα — πατέρων SD ἔκθεσισ A   11 τριακοσίων δεκαοκτὼ SD   τῇ νικαέων SD νικαίᾳ A   11/12 οὕτως — οὕτως uerba male concepta   11 καὶ οὕτωσ VA   ἐν SDA κἀγὼ V κἀγὼ καὶ συντίθεμαι P   12 πίστει ταύτῃ A   οὕτως om. V   ἐνταῦθα D   12/13 καὶ — παραστῆναι om. V   14 τῶν om. A   θεσσαλονικῶν PSn, θεσσαλικῶν S[corr] m   παλτῶν A   15 τῆσ ἐν νικαίᾳ ἐκτεθείσησ SD τῆσ ἐκτεθείσησ τῆσ ἐν νικαίᾳ V   ταύτησ P   16 ἀρχιεπισκόπου κυρίλλου A κυρίλλου τοῦ ἀρχιεπισκόπου P   17 πάντες om. PA   18 τῆσ VPS ἐπαρχίασ A ἐπαρχίασ τῆσ D   τὴν om. A   19 ἐκτεθείσῃ τῆσ πίστεωσ SD ἐκτεθείσῃ πίστει P   20 τριακοσίων δεκαοκτὼ PD   τῶν om. P   τε om. PA   21 ἀρχιεπισκόπου SD   22 ῥινοκούρων SDA   ἔφη P   τό τε om. P   23 ἐνήχησε VPS   τὸ] τῷ S   23/24 καὶ γλώττῃ om. A   24 ἁγίου A   ἡμῶν καὶ[2] P om. SD   25 ἐπαγορεύσαντοσ A   25/26 ἐπ᾽ ἐκκλησίασ μὴ καλῶσ V   26 ἐκκλησίᾳ SD   28 εὐόπιοσ SD   πολεμαΐδοσ S   τῆσ πενταπόλεωσ VP   29 θεοφιλεστάτου VP

τῆς πρὸς τὸν θεοσεβέστατον Νεστόριον πρὸς διόρθωσιν τῶν οὐκ ὀρθῶς εἰρημένων γραφείσης καὶ τοῦ συμβόλου τοῦ παρὰ τῶν ἁγιωτάτων καὶ θεοσεβεστάτων πατέρων ἡμῶν τῶν ἐν Νικαίαι συναχθέντων καὶ κατά μηδὲν ἐν αὐτῆι ἐνηλλαγμένον συνιδὼν συντίθεμαι μετὰ πάσης τῆς συνόδου τῶι συμφώνωι τῆς ὀρθῶς ἐχούσης πίστεως.

119 Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ Θηβαίδος εἶπεν· Ὁμοδυναμεῖ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου τοῖς ἐκτεθεῖσι δόγμασι παρὰ τῆς ἐν Νικαίαι
L III 491 συνόδου ἐν μηδενὶ ἀπάιδουσα πρὸς διόρθωσιν μὲν τῶν ὀρθοδόξων, καθαίρεσιν δὲ τῶν αἱρετικῶν δογμάτων, κἀγὼ πιστεύω καὶ συντίθεμαι.

120. Ζήνων ἐπίσκοπος πόλεως Κουρίου τῆς Κύπρου εἶπεν· Τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν καὶ τοῖς γραφεῖσι παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου συμφώνοις οὖσι καὶ ἡμεῖς συντιθέμεθα, τὴν αὐτὴν πίστιν ὁμολογοῦντες.

121 Μαρτύριος ἐπίσκοπος Ἰλίστρων εἶπεν· Ἄνωθεν καὶ ἐκ προγόνων τοῖς κανόσι τῶν κατὰ Νίκαιαν ἐντραφέντες καὶ πιστεύοντες τούτους μέχρι τέλους διαφυλάξαι, εἶτα δὲ καὶ τῆς ἐπιστολῆς ἐπακούσαντες τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ σύμψηφον ταύτην εὑρόντες τῶν ἁγίων κανόνων, πιστεύομεν ἕως τέλους καὶ διαφυλάξαι καὶ τηρῆσαι τοὺς ἡμῖν ἐμπεπιστευμένους λαούς.

122 Ἡσύχιος ἐπίσκοπος Παρίου εἶπεν· Εἰ καὶ μόνος δοκῶ τῆς ἐπαρχίας τῆς ἐμῆς καὶ ταῦτα δι' εὐχὴν ἐλθών, ἀλλ' οὖν γε καὶ αὐτὸς τῆς πίστεως εἶναι τῆς αὐτῆς κατατίθεμαι, ἥσπερ ἐξέθεντο οἱ ἁγιώτατοι καὶ θεοσεβέστατοι πατέρες οἱ ἐν Νικαίαι συνελθόντες. ταύτην καὶ ἐκύρωσεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κύριλλος διά τῆς ἐπιστολῆς τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον.

123 Ἑλλάδιος ἐπίσκοπος Ἀτραμυτίου εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου πιστεύω καὶ τὴν πίστιν ταύτην διαφυλάξω.

124 Δίων ἐπίσκοπος πόλεως Θηβῶν εἶπεν· Πίστις μοί ἐστι τῶν ἁγίων πατέρων τῶν
M IIII 1169 κατὰ Νίκαιαν καὶ ταύτην ὁμολογῶ, οἶδα δὲ τῶι αὐτῶι φρονήματι καὶ τὸν ἁγιώτατον πατέρα καὶ συλλειτουργὸν ἀρχιεπίσκοπον Κύριλλον διὰ τῆς ἁγίας ἐπιστολῆς ἐκτεθεῖσθαι καὶ εἰρηκέναι τῆς γραφείσης πρὸς Νεστόριον.

125 Ἀνδρέας ἐπίσκοπος Ἑρμουπόλεως τῆς Θηβαίδος εἶπεν· Κατὰ τὰ ἐψηφισμένα περὶ τῆς ὀρθῆς καὶ σωτηριώδους πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῆι Νικαέων πόλει συναχθέντων τιη ἐπισκόπων καὶ κατὰ τὴν τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἀναγνωσθεῖσαν ἐπιστολὴν καὶ ἐπισταλεῖσαν τῶι εὐλαβεστάτωι

---

V, P [= hk], S, D [= mn], A

1 θεοσεβέστατον καὶ εὐλαβέστατον P   ὀρθῶσ ὑπ' αὐτοῦ P   2 ἡμῶν πατέρων P   3 συνελθόντων SD   ἐν αὐτῆι om. P   συνιδὼν καὶ S   4 τῇ συμφωνίᾳ SD τῆσ συμφώνωσ A   ὀρθῆσ SA, corr. S   5 φοιβάμων DA   κοπτῶν SD   τῆσ θηβαίδοσ V ἐπαρχίασ θηβαίδοσ A   6/7 τῇ — συνόδῳ VA   6 τῇ νικαίᾳ V   7 μὲν καὶ V   ὀρθῶν A   8 συντίθεμαι τοῖσ ὀρθοῖσ δόγμασιν P   9 πόλεως om. PA   10 ἐν νικαίᾳ A   ὁσιωτάτου SD   13 ἰλιστρῶν PA ἰλλίστρων SD ἰλούστρων V   τῶν] τοῖσ A   14 τὴν νίκαιαν S   ἐντραφέντων S   πιστεύσαντες P   τούτοισ S   ἄχρι A   διαφυλάξαι εὐχόμεθα P   δὲ] δὴ P   15 ἐπακούσαντεσ S ὑπακούσαντεσ VPDA   ἀρχιερέωσ A   σύμφωνον P   16 διατηρῆσαι DA   19 τῆσ αὐτῆσ εἶναι VP   20 καὶ θεοσεβέστατοι om. SD   21 θεοσεβέστατοσ DA   ἐπίσκοποσ SD ἡμῶν ἀρχιεπίσκοποσ A   23 ἀτραμυτίου VPA ἀδραμυτίου D ἀδραμυττίου S   κατὰ SD om. VPA   τριακοσίων δεκαοκτὼ PSD   25 φυλάττω VP φυλάξω A   26 θηβῶν πόλεωσ A   πατέρων om. P   28/29 τῆσ αὐτοῦ ἐπιστολῆσ τῆσ γραφείσησ πρὸσ νεστόριον τὰ αὐτὰ ἐκτεθεῖσθαι καὶ εἰρηκέναι P   28 ἐπιστολῆς om. D   ἐκτεθῆσθαι A ἐκθεῖναι V   30 θερμουπόλεωσ SD   32 συναχθέντων τῶν P   τριακοσίων δεκαοκτὼ PD   33 καὶ VSDA τὴν P   ἐπισταλεῖσαν PSA ἀποσταλεῖσαν V σταλεῖσαν D

ἐπισκόπωι Νεστορίωι, συνωιδοῦσαν τοῖς πάλαι δεδογμένοις παρὰ τῶν αὐτῶν ἁγιωτάτων ἐπισκόπων τῶν ἐν τῆι Νικαέων συναχθέντων, πιστεύω καὶ δοξάζω τὴν τῶν ὀρθοδόξων πίστιν.

126 Καὶ πάντες δὲ οἱ λοιποὶ οἱ προταγέντες ἐν τῆι στάσει ἐπίσκοποι τὰ αὐτὰ κατατίθενται καὶ οὕτως πιστεύουσι καθὼς καὶ οἱ πατέρες ἐξέθεντο καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἡ γραφεῖσα πρὸς Νεστόριον τὸν ἐπίσκοπον ἐγνώρισεν.

46 Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἀκόλουθόν ἐστι καὶ τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου Νεστορίου ἀναγνωσθῆναι, ἧς ἐμνημόνευσε κατ' ἀρχὰς ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος ὥστε γνῶναι ἡμᾶς εἰ κἀκείνη σύμφωνός ἐστι τοῖς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθεῖσιν.

Καὶ ἀναγνωσθεῖσα ὑποτέτακται καθὼς προεγράφη, ἧς ἡ ἀρχή· Τῶι εὐλαβεστάτωι ep. 5
καὶ θεοφιλεστάτωι συλλειτουργῶι Κυρίλλωι Νεστόριος ἐν κυρίωι χαίρειν. Τὰς μὲν καθ' ἡμῶν L III 494
ὕβρεις τῶν θαυμαστῶν σου γραμμάτων ἀφίημι ὡς μακροθυμίας ἀξίας ἰατρικῆς καὶ τὰ λοιπά.

47 1 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τί δοκεῖ τῆι ἁγίαι ταύτηι καὶ μεγάληι συνόδωι περὶ τῆς ἀρτίως ἀναγνωσθείσης ἐπιστολῆς; ἆρα φαίνεται καὶ αὐτὴ σύμφωνος εἶναι τῆι ὁρισθείσηι πίστει ἐν τῆι συνόδωι τῶν ἁγίων πατέρων τῶν κατὰ καιροὺς συνειλεγμένων ἐν τῆι Νικαέων πόλει ἢ οὔ;

2 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Οὐδαμῶς σύμφωνος τυγχάνει τῆι εὐσεβεῖ πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, καὶ ἀναθεματίζω τοὺς οὕτως πιστεύοντας. καὶ γὰρ ἀλλότρια ταῦτα πάντηι τυγχάνει τῆς ὀρθοδόξου πίστεως.

3 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Τὰ ἐγκείμενα τῆι ἀναγνωσθείσηι ἐπιστολῆι σύμπαντα μαχόμενα τυγχάνει πάντηι καὶ ἀλλότρια καθάπαξ τῆς πίστεως τῆς ἐκτεθείσης ἐν Νικαίαι παρὰ τῶν ἁγιωτάτων πατέρων, καὶ ἀλλοτρίους εἶναι τῆς ὀρθῆς πίστεως τοὺς οὕτω πιστεύοντας κρίνομεν.

4 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Μόρφωσιν εὐσεβείας περιθεὶς ἐν προοιμίοις τῆι ἐπιστολῆι, προιόντος τοῦ λόγου οὐδενὶ τρόπωι τὸ ἑαυτοῦ φρόνημα συσκιάσαι δυνηθεὶς γυμνὸν παρακαλύμματος τὸ ἑαυτοῦ παρέθετο φρόνημα, ἀπᾶιδον τῆς τῶν ἁγίων πατέρων τῶν τιη πίστεως καὶ τῆς ἐπιστολῆς τοῦ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ὑπεναντίως ἔχον.

3 cf. Gesta concilii quinti [*L V 520 = M VIIII 311*]: *et postquam dixerunt centum uigintiquattuor episcopi consonanter, in fine ita scriptum est: Et omnes qui supra scripti sunt etc.*
13 in fine add. *scripta mense Iunio die quinta decima* Λc

V, M [inde a 3 usque ad 24], P [= hk], S, D [= mn], A, Λtcu [inde a 3]
1 ἐπισκόπωι om. V   δεδογματισμένοισ VP   αὐτῶν om. PSD   2 τῆ νικαέων PA τῆ νικαέων πόλει V νικαία SD   3 ὁμοίωσ καὶ M   δὲ SDAΛc om. VMP   λοιποὶ οἱ om. A οἱ καὶ προταγέντεσ VMP   ἐν — ἐπίσκοποι om. V   ταῦτα M   4 πιστεύω A   4/5 ἐπισκόπου M   6 μς V μδ M κθ' D   ἀμασίασ P   8 καὶ ἡμᾶσ D   τῶν S   9 τῶν om. MPS   10 ἀναγνωσθεῖσα ὑποτέτακται VPAΛc ἀνεγνώσθη SD   προεγράφη — ἀρχή AΛtc περιέχει VMP προτέτακται SD   10/11 τῶι — χαίρειν om. AΛc   εὐλαβεστάτωι καὶ om. V   12 ῥημάτων P   12/13 ὡς — λοιπά om. A   12 ἄξια P   13 λοιπά VΛtc λοιπὰ ὡσ [ὥσπερ M] προλάμπει MP ἑξῆσ προεγράφη SD   14 μζ V κη S   καὶ — ἐπιστολὴν DAΛtc om. VPMSΛu   15 ἁγία — μεγάλη DAΛ ταύτη τῆ ἁγία καὶ μεγάλη VMP τῆ μεγάλη ταύτη καὶ ἁγία S   16 καὶ αὐτὴ φαίνεται S   συνόδω MAΛ ἁγία συνόδω VPSD   17 τῶν om. V   συνηγμένων VMP   ἢ οὔ om. S   20 πάντη SΛtc πάντα PDA conc. quintum om. VΛu locus oblitteratus in M   22 μαχόμενα — ἀλλότρια] ἀλλότρια καὶ μαχόμενα τυγχάνει P   πάντη τὲ A om. VM   23 τῆ νικαέων A   ἁγίων AΛt   24 δοξάζοντασ P κρίνομεν om. P   25—p. 35, 29 om. M, pro iis ponendo ὁμοίωσ τούτοισ καὶ οἱ λοιποὶ πάντεσ ἐπίσκοποι εἶπον ὡσ τὰ ἐγκείμενα τῆ ἀναγνωσθείση ἐπιστολῆ τοῦ νεστορίου ἀλλότρια τυγχάνει τῆσ πίστεωσ τῆσ ἐκτεθείσησ ἐν νικαία παρὰ τῶν ἁγίων πρων καὶ ταῦτα ἀνεθεμάτισαν καὶ τούσ ταῦτα φρονοῦντασ   26 αὐτοῦ S   27 περικαλύμματοσ P προκαλύμματοσ V   τὸ ἑαυτοῦ] τοῦτο A   φρόνημα om. A   καὶ τῆσ SDA τοῖσ P   28 τριακοσίων δεκαοκτὼ PD   τῆσ ἐπιστολῆσ SDAΛtcu τῆ ἐπιστολῆ VP conc. quintum   ἀρχιεπισκόπου V

5 Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπεν· Πᾶσιν εὐσύνοπτος ἡ τῆς ἐπιστολῆς ἐναντιότης τοῦ εὐλαβεστάτου Νεστορίου οὐ μόνον τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἀπάιδουσα, ἀλλ' οὐδὲ ἑαυτῆι συμβαίνουσα.

IIII 1172 6 Ἰκόνιος ἐπίσκοπος Γορτύνης εἶπεν· Ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου ἡ νῦν ἀναγνωσθεῖσα οὐδεμίαν ἔχει συμφωνίαν πρὸς τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων οὔτε μὴν πρὸς τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου. διὸ ταύτηι ἀποτασσόμενος καὶ ἀναθεματίζων τοὺς οὕτω πιστεύοντας, συντίθεμαι τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου.

7 Ἑλλάνικος ἐπίσκοπος Ῥόδου εἶπεν· Καὶ ἤδη κατεθέμην ὅτι τῆι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως τῶν τ̅ι̅η̅ ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων ἀκολουθῶ καὶ τὴν ἁγίαν παρθένον Μαρίαν θεοτόκον ὁμολογῶ, ἀνάθεμα δὲ ἔστω ὁ μὴ πιστεύων οὕτως.

8 Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Ἔδειξεν ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεστορίου ὅτιπερ οὐκ εἰκαῖον ἠγωνίασε φόβον εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην συνελθεῖν σύνοδον. ἀκόλουθον γὰρ ἦν τὸν συνειδότα ἑαυτῶι καὶ τὰς θείας παραχαράξαντα γραφὰς καὶ τὰ τῶν ἁγίων πατέρων παρασαλεύσαντα δόγματα τοσούτωι παρασχεθῆναι φόβωι ὥστε στρατιωτῶν πλήθει τὴν ἑαυτοῦ περιτειχίσαι οἰκίαν. σαφέστατα
L III 495 γὰρ καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐδήλωσεν ἐπιστολὴ ὅτιπερ τὰς περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἐγκειμένας τῆι πίστει τῶν ἁγίων πατέρων τ̅ι̅η̅ ἐπισκόπων φωνὰς ἀφελὼν μόνηι τῆι σαρκὶ τὰ τῆς σωτηριώδους περιῆψεν οἰκονομίας, ψιλὸν τὸν ναὸν τοῦ θεοῦ γέννησίν τε καὶ τελευτὴν ὑπομεῖναι εἰπών. καὶ κατεψεύσατο μὲν τῆς γραφῆς ὡς καὶ αὐτῆς τὴν γέννησιν καὶ τὸ πάθος οὐ τῆς θεότητος, ἀλλὰ τῆς ἀνθρωπότητος διδασκούσης, κατεσυκοφάντησε δὲ καὶ τῶν τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου γραμμάτων ὡς παθητὸν λεγόντων θεόν, ὅπερ οὔτε αὐτὸς οὔτε ἄλλος τις τῶν εὐσεβῶς φρονούντων ἢ ἐνενόησεν ἢ εἰπεῖν ἐτόλμησεν. διὰ πάντων δὲ ἔδειξεν ἑαυτὸν ὀνόματι μόνωι τὴν ἑνότητα τοῦ θεοῦ πρὸς τὴν σάρκα ὁμολογῶν, τῶι δὲ πράγματι ταύτην πάντηι ἀρνούμενος, ἤλεγξε δὲ ἑαυτὸν καὶ ξένηι διδαχῆι χρησάμενον ἐν τῶι νῦν πεφωτίσθαι τὰ δόγματα λέγειν δι' αὐτοῦ. οἷς ἅπασιν ἀλλοτρίοις οὖσι τῆς ἀληθείας καὶ πολλὴν τὴν ἀσέβειαν ἔχουσιν ἀποτάσσομαι, ἀλλότριον ἐμαυτὸν τῆς τῶν τοιαῦτα φθεγγομένων κοινωνίας ποιῶν.

9 Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Οὐ συκοφαντίας μόνον, ἀλλὰ καὶ βλασφημίας

---

V, P [usque ad 4], S, D [= mn], A, Λ$^{tcu}$

1 οὐαλλεριανὸσ SDA ἰουλιανὸσ VP   πάνυ A   3 θεοφιλεστάτου καὶ ἁγιωτάτου VPΛ$^{c}$ θεοσεβεστάτου καὶ ἁγιωτάτου A ἁγιωτάτου καὶ θεοσεβεστάτου SD   ἀρχιεπισκόπου om. SD   4 ἀλλ — συμβαίνουσα] ἀλλὰ καὶ αὐτῷ τῷ δημιουργῷ τῆσ ἐπιστολῆσ διὰ τοῦτο ἀναθεματίζω αὐτόν P   ἑαυτῆσ S   5—p. 35, 26 om. P   5 ἡ$^{2}$ om. V   6/7 οὐδεμίαν συμφωνίαν — συναχθέντων ἔχει V   7 συναχθέντων VΛ συνελθόντων SDA   οὐδε V   ἁγιωτάτου om. SD   7/8 καὶ ἐπισκόπου om. SD   10 πατρὸς καὶ om. SD   ἐπισκόπου SDA   11 Ἀλλάνικοσ D   12 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] DA   13 καλῶ A   14 ἔδειξεν VΛ ἔδειξεν ἡμῖν SDA   15 ἐπισκόπου om. D   16 συνελθεῖν σύνοδον AΛ ἐλθεῖν σύνοδον V σύνοδον συνελθεῖν SD   ἑαυτῷ τοιαῦτα A   17 δόγματα SDAΛ ὅρια V   τοσούτω VΛ τοιούτω SDA   18 πλήθη S πλῆθοσ A   περιστοιχίσαι D   19 ὅτι SD   υἱοῦ om. V   20 τ̅ι̅η̅ S τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] DAΛ καὶ θεοφόρων V   21 τὰ DAΛ τὰσ VS   τε VΛ om. SDA   23 καὶ SDAΛ τε καὶ V   μόνον ἀλλὰ καὶ SD   24 δὲ om. V   καὶ θεοσεβεστάτου AΛ καὶ θεοφιλεστάτου V om. SD   25 τὸν θ̅ν̅ V   ἐνόησεν S   ἢ εἰπεῖν SDAΛ εἰπεῖν ἢ V   26 μόνω VSDΛ$_{t}$ μόνον AΛ$_{uc}$   27 ὁμολογῶν SDAΛ ὁμολογοῦντα V   πάντη ταύτην A   δὲ αὐτὸν SD   καὶ om. SD   28 τὰ δόγματα λέγει δι' αὐτοῦ VΛ δι' αὐτοῦ τὸ δόγμα λέγειν SDA   30 τῆς — ποιῶν VΛ κρίνων τῆσ — κοινωνίασ SDA   31 μόνον AΛ μόνησ V μῶμον SD   καὶ om. SD

ἡ ἀναγνωσθεῖσα πεπλήρωται ἐπιστολή· ὅθεν πᾶσα ἐναντία ἐστὶ τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τριακοσίων δέκα καὶ ὀκτώ.

10 Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Κατ' οὐδὲν συμφωνοῦσαν τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου Νεστορίου ἔγνωμεν τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνειλεγμένων τιη̅· ὅθεν τῆι μὲν ἐκθέσει πειθόμεθα, τὴν δὲ ἐπιστολὴν τοῦ Νεστορίου ἀλλοτρίαν τῆς ὀρθῆς πίστεως τιθέμεθα καὶ τοὺς ταῦτα φρονοῦντας ἀλλοτρίους τῆς ὀρθῆς πίστεως [εἶναι] κρίνομεν.

11 Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἐγὼ μὲν διὰ τὴν ἐγγεγραμμένην τῆι ἐπιστολῆι M IIII 1173 βλασφημίαν καὶ τὰ ὦτα ἀποφράττειν οὐκ ὀκνῶ καὶ μικροῦ λίθινος ἐγενόμην ὑπὸ ἀθυμίας ὥστε μὴ δύνασθαι φωνὴν ῥῆξαι τοσαύτηι ἀθυμίαι κατειλημμένον· πιστεύω δὲ πᾶσαν τὴν θεοφιλῆ ἁγίαν σύνοδον τὴν αὐτὴν γνώμην ἔχειν ἐμοὶ ἐπὶ τῆι ἀρτίως ἀναγνωσθείσηι ἐπιστολῆι, τοσοῦτον δὲ μόνον φημὶ ὅτιπερ σφόδρα ἀπάιδουσα ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τυγχάνει τῆς τῶν ἁγίων πατέρων ἐπὶ τῆι πίστει ἐκθέσεως τῶν συνειλεγμένων ἐν τῆι Νικαέων καλλιπόλει.

12 Δυνατὸς ἐπίσκοπος Παλαιᾶς Ἠπείρου εἶπεν· Οὐδένα ἀληθείας λόγον ἀπαγγέλλει ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου· οὔτε τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνάιδειν αὐτὴν ἐπιγινώσκομεν οὔτε τῆι παραδόσει τῆς καθολικῆς ἐκκλησίας. διὸ δὴ κατ' οὐδένα λόγον ἐπιγινώσκομεν αὐτὴν τῆς καθολικῆς εἶναι ἐκκλησίας, ἀλλὰ καὶ εἴ τις ἕτερος οὕτω φρονεῖ, οὐκ ἀκολουθεῖ τῆι τῆς καθολικῆς ἐκκλησίας πίστει.

13 Προθύμιος ἐπίσκοπος Κομάνης εἶπεν· Τοῖς γράμμασι τοῖς ἐκτεθεῖσι παρὰ τῆς σῆς ἁγιωσύνης πιστεύω καὶ ἀναθεματίζω τὸν μὴ λέγοντα θεοτόκον τὴν ἁγίαν παρθένον.

14 Γρηγόριος ἐπίσκοπος Κερασοῦντος εἶπεν· Ἐναντία τῆς εὐσεβοῦς θρησκείας τῶν τιη̅ L III 498 ἐπισκόπων τῶν ἐν Νικαίαι γέγραφεν ὁ εὐλαβέστατος ἐπίσκοπος Νεστόριος τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι Κυρίλλωι· ὅθεν ταῦτα αὐτοῦ φρονοῦντος οὐ συγκατατίθεμαι τῶι ἐκείνου δόγματι, ἀλλὰ συναινῶ τῶι τοῦ προλεχθέντος ἀρχιεπισκόπου Κυρίλλου καὶ τῶν προλεχθέντων ἁγίων πατέρων.

15 Ῥωμανὸς ἐπίσκοπος Ῥαφίας εἶπεν· Κίβδηλον πίστιν ἐξέθετο ὁ εὐλαβέστατος Νεστόριος παρὰ τὴν τῶν ἁγίων πατέρων· ὅθεν ταύτην ἀναθεματίζομεν κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν τὴν λέγουσαν εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα Gal. 1, 9 ἔστω.

16 Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπεν· Παραγράφομαι τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ εὐλαβεστάτου Νεστορίου πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Κύριλλον τῶι παρανόμως καὶ παρὰ τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικοὺς γεγενῆσθαι αὐτήν, τὴν δὲ πίστιν τὴν ἐν Νικαίαι βεβαίαν ἡγοῦμαι.

17 Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπεν· Παντάπασιν ἀλλότρια τὰ παρὰ τοῦ εὐλα-

---

VS, D [= mn], A, $\Lambda^{tcu}$ [usque ad 14]

1 πεπλήρωται ἐπιστολή VΛ ἐπιστολὴ περιέχει SD περιέχει ἐπιστολὴ A   2 τριακοσίων — ὀκτώ SAΛ τιη̅ D om. V   3 ἀγκύρων SA   4 ἔγνωμεν νεστορίου V   4/5 τῶν — τιη̅ om. SD   5 τιη̅ AΛ ἁγίων καὶ θεοφόρων ἐπισκόπων V   μὲν VSAΛ μὲν ἐκείνων D   τοῦ om. SDA   6 ὀρθοδόξου SD   ὀρθῆσ SDAΛ χριστιανῶν V   7 εἶναι om. VΛ   9 μαρτυρίαν βλάσφημον SD   10 μὴ $VSA\Lambda^{lc}$ μηδὲ $D\Lambda^{u}$   δὲ VAΛ δὲ καὶ D om. S   11 ἁγίαν $SD\Lambda^{tc}$ καὶ ἁγίαν $VA\Lambda^{u}$   κἀμοὶ V om. $\Lambda^{u}$   12 τοσοῦτο SA   13—16 τυγχάνει — ἐπιστολὴ om. V   13/14 τῶν — καλλιπόλει AΛ om. SD   15 δονάτοσ m   λόγον ἀληθείασ A   17 αὐτὴν συνάδειν A συνάδουσαν αὐτὴν SD καθολικῆς om. D   18 διὸ — ἐκκλησίας om. SD   λόγον V τρόπον A   20 κονάνησ VA κονάησ SD   22 τριακοσίων δεκαοκτὼ D   23 τῶν ἐν Νικαίαι om. SD   ἐπίσκοπος om. SDA   24 καὶ — ἀρχιεπισκόπωι om. SD   ταῦτα — φρονοῦντος om. SD   25 τῶι D τὸ S τῆ ἐκθέσει V om. A   27 ῥαφείασ SDA   29 ὑμῖν V   31 θεόδωροσ V   32/33 παρὰ τοὺσ θεσμοὺς — καὶ παρανόμωσ A   33 τοὺσ ἐκκλησιαστικοὺσ θεσμοὺσ V   γενέσθαι D   35 ῥινοκούρων SDA

βεστάτου Νεστορίου ὑπηγορευμένα τῆι ὀρθοδόξωι τυγχάνει πίστει καὶ τῆι τῶν πατέρων ἐκθέσει, ἔτι γε μὴν καὶ τοῖς γεγραμμένοις παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου, συμφώνοις τυγχάνουσι τῶι τῶν πατέρων φρονήματι περὶ τῆς πίστεως.

18 Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος εἶπεν· Ὥσπερ οἱ τὸ βασιλικὸν νόμισμα παραχαράττοντες τιμωρίας παρὰ τῶν νόμων εἰσὶ τῆς ἐσχάτης ὑπεύθυνοι, οὕτως καὶ ὁ εὐλαβέστατος Νεστόριος τὸ δόγμα τῆς ὀρθοδοξίας παραχαράξαι τολμήσας καὶ παρὰ θεῶι καὶ παρὰ ἀνθρώποις πάσης ἄξιός ἐστι τιμωρίας καὶ ἅπερ προήνεγκεν ἀπάιδοντα τῆι καθολικῆι ἐκκλησίαι δόγματα πρὸς λύμην καὶ ἀπώλειαν τῶν ἀκολουθησάντων ἀνθρώπων αὐτῶι. ὅθεν ἀλλότριον ἐμαυτὸν τῆς κοινωνίας αὐτοῦ καὶ πάντων τῶν τὰ αὐτὰ φρονούντων αὐτῶι καθιστῶ.

Cor. 6, 14.15 19 Φεῖδος ἐπίσκοπος Ἰόππης εἶπεν· Τίς κοινωνία φωτὶ πρὸς σκότος ἢ τίς συγκατά-
M IIII 1176 θεσις Χριστῶι πρὸς Βελίαρ; πολὺ γὰρ ἀφέστηκε τῆς ἀληθείας ἡ νυνὶ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, πολὺ δὲ συγκατατίθεται τῆι παρανόμωι γνώμηι Παύλου τοῦ Σαμοσατέως· ὅθεν ἀπαράδεκτος πᾶσι διὰ τὰς ἐγκειμένας ἐν αὐτῆι δυσφημίας ἔσται.

20 Θεόδωρος ἐπίσκοπος Ἀραβδήλων εἶπεν· Οὐκ ὀρθῶς οὐδὲ σύμφωνα τῆι ὀρθοδόξωι πίστει οὐδὲ τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων περιέχει ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, ἀλλὰ πάντηι ἀπάιδοντα· ὅθεν κἀγὼ ἀναθεματίζω αὐτὸν τοιαῦτα φρονοῦντα.

21 Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν· Ἀναθεματίζω κἀγὼ τὸν τιμιώτατον Νεστόριον μὴ φρονήσαντα τὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, καθὼς καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐπιστολὴ ἔδειξεν.

22 Ῥουφῖνος ἐπίσκοπος Ταβῶν εἶπεν· Ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου ἔδειξεν αὐτὸν ὑπεναντία τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν
L III 499 ἐν Νικαίαι συνελθόντων φρονοῦντα· ὅθεν ἀναθεματίζω αὐτὸν καὶ ταῖς ἐκτεθείσαις παρ' αὐτοῦ βλασφημίαις ἀποτάσσομαι.

23 Παυλιανὸς ἐπίσκοπος Μαιουμᾶ εἶπεν· Ὁμοίως κἀγὼ αὐτὸν ἀναθεματίζω, ἐπειδὴ κακῶς φρονεῖ. ἔδειξε γὰρ ἡ ἐπιστολὴ τοῦτο αὐτό.

24 Ἀιάνης ἐπίσκοπος Συκαμαζόνος εἶπεν· Οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν ἐδείχθη ἡ γνώμη τοῦ εὐλαβεστάτου Νεστορίου διὰ τῆς ἀναγνωσθείσης ἐπιστολῆς σαφῶς περιεχούσης, ὡς ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονεῖ· ὅθεν κἀγὼ αὐτὸν ἀναθεματίζω.

25 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπεν· Ἐπειδὴ χρὴ ἐξακολουθεῖν τῆι ὀρθοδόξωι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τοὺς θεῶι ἀνακειμένους, εὕρηται δὲ ὁ εὐλαβέστατος Νεστόριος οὐχ ὁμοίως φρονῶν, κατὰ τοῦτο κἀγὼ αὐτὸν ἀναθεματίζω ἀπὸ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς.

26 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως εἶπεν· Ὦπται ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς Νεστόριος ὁ εὐλαβέστατος ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονῶν· ὅθεν κἀγὼ αὐτὸν ἀναθεματίζω.

27 Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπεν· Οὐ χρὴ τοὺς μάλιστα Χριστιανοὺς συνυπάγεσθαι

---

VS, D [= mn], A

1 τυγχάνει om. S post ἐκθέσει coll. D  2 ἐγγεγραμμένοισ SDA  καὶ θεοφιλεστάτου om. SD  3 συμφώνωσ S σύμφωνα A  4 εὐόπιοσ Sm  πολεμαΐδοσ Sm  6 παρά² om. V  8 ἀνθρώπων om. S  9 αὐτῶι om. D  καθίστημι V  12 νεστορίου τοῦ εὐλαβεστάτου V  παρανόμωι om. SDA  γνώμη τῆ A  13 ἀπαράδεκτοσ V ἀπρόσδεκτοσ A ἀποδεκτικόσ S οὐκ ἀποδεκτέοσ D  ἐγκειμένασ αὐτῆ A ἐν αὐτῆ ἐγκειμένασ SD  ἔσται om. V  14 ἀρβδήλων V  18 φρονήσαντα ὀρθῶσ DA  20 Ταβῶν pro Γάβων, idem uitium extat 45, 40 cf. 33, 41  22 τῆ νικαέων A  φρονοῦντα om. S  23 δυσφημίαισ καὶ βλασφημίαισ SD  ἀποτάττομαι S  24 αὐτὸν om. S  25 ἡ ἐπιστολὴ V αὐτοῦ ἡ ἐπιστολὴ A ἡ ἐπιστολὴ αὐτοῦ SD  26 ἀιανόσ A  26—28 οὐχ — ἀναθεματίζω] ὁμοίωσ κἀγὼ αὐτὸν ἀναθεματίζω ὡσ ὑπεναντία τῆσ ὀρθοδόξου πίστεωσ φρονοῦντα V  27 αὐτοῦ ἐπιστολῆσ SD  περιεχούσης ὡς] περιέχει καὶ S  29 χρὴ] δεῖ S  29/30 τῆ — ἐκτεθείσῃ DA τῆ ἐκτεθείσῃ ὀρθοδόξω πίστει S τῆ ὀρθοδόξω πίστει V  31 ὅμοια A  36 συνυπάγεσθαι V συνάγεσθαι A συνάπτεσθαι SD

τοῖς οὐ καλῶς φρονοῦσιν, ἀλλὰ τἀναντία· ὅθεν ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς τοῦ εὐλαβεστάτου Νεστορίου ὑπεναντία τῆς ὀρθοδόξου πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τὸ τηνικαῦτα συνελθόντων σαφῶς περιεχούσης ἀναθεματίζω αὐτόν.

28 Λητόιος ἐπίσκοπος Λιβιάδος εἶπεν· Πολὺ τῆς ὀρθοδόξου πίστεως ἀπάιδει τὸ φρόνημα Νεστορίου τοῦ εὐλαβεστάτου ἀπὸ τῶν ἀναγνωσθέντων· διὸ κἀγὼ ἀναθεματίζω αὐτόν.

29 Σαίδας ἐπίσκοπος Φαινοῦς εἶπεν· Κἀγὼ αὐτὸν ἀναθεματίζω κακῶς φρονοῦντα καὶ μὴ συμφωνοῦντα τῆι πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων. ἔδειξε γὰρ αὐτοῦ τὴν γνώμην ἡ τῆς αὐτοῦ ἐπιστολῆς ἀνάγνωσις.

30 Εὐσέβιος ἐπίσκοπος Πηλουσίου εἶπεν· Τὰ ἐγκείμενα πάντα τῆι ἐπιστολῆι τῆι ἀναγνωσθείσηι τοῦ εὐλαβεστάτου Νεστορίου ἀλλότρια τυγχάνει τῆς πίστεως τῆς ἐκτεθείσης ἐν Νικαίαι παρὰ τῶν ἁγίων πατέρων, καὶ ταῦτα ἀναγκαίως ἀναθεματίζω καὶ τοὺς ταῦτα φρονοῦντας. M IIII 1177

31 Μακάριος ἐπίσκοπος Ἀνταίου εἶπεν· Σφόδρα ἀπάιδουσι τὰ ἐγκείμενα τῆι ἐπιστολῆι τοῦ εὐλαβεστάτου Νεστορίου τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, καὶ ἀναθεματίζω τοὺς οὕτω φρονοῦντας ὡς ἔξω τυγχάνοντας τῆς ὀρθοδόξου πίστεως.

32 Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ εἶπεν· Οὐδαμῶς σύμφωνος τυγχάνει τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, ἀλλ' οὐδὲ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου· διὸ ἀνάθεμα τοῖς οὕτως πιστεύουσιν.

33 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Δῆλός ἐστιν ἐκ τῆς νυνὶ ἀναγνωσθείσης ἐπιστολῆς ἀλλότρια φρονῶν τῆς πίστεως τῶν ἁγίων πατέρων ὁ εὐλαβέστατος Νεστόριος, καὶ ἀναθεματίζω αὐτὸν καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας. L III 502

34 Ἀριστόβουλος ἐπίσκοπος Θμούεως εἶπεν· Ἔγνωμεν ἐναντία φρονοῦντα τῆς ὀρθῆς πίστεως τὸν εὐλαβέστατον Νεστόριον ἐκ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς καὶ διὰ τοῦτο ἀναθεματίζω αὐτόν.

35 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπεν· Τὸ ἔκφυλον καὶ μυσαρὸν τῶν δογμάτων ἃ διὰ τῆς ἐπιστολῆς τοῦ εὐλαβεστάτου Νεστορίου ἔκδηλα γέγονεν, οὐ μόνον τὴν ἀκοὴν τῶν εὐσεβούντων ἀποκναίει, ἀλλὰ καὶ τὸ πολέμιον πρὸς τὴν ὀρθὴν δείκνυσι πίστιν.

**48** Πάντες οἱ ἐπίσκοποι ἅμα ἐπεφώνησαν· Ὁ μὴ ἀναθεματίζων Νεστόριον ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει, τοῦτον ἡ σύνοδος ἀναθεματίζει. Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίωι ἀνάθεμα ἔστω. Πάντες ἀναθεματίζομεν τὴν ἐπιστολὴν καὶ τὰ δόγματα Νεστορίου. Τὸν αἱρετικὸν Νεστόριον

---

30 *et cum interlocuti essent triginta tres episcopi* Conc. quintum [L v 523 = M vIIII 315]

---

V, M [inde a 30], P [= hk, inde a 27], S, D [= mn], A, $\Lambda^{tcu}$ [inde a 30]

1 τουναντίον SD ὅθεν ἀναγνωσθείσησ τῆσ ἐπιστολῆσ V 2 ὀρθοδόξου — ἐκτεθείσησ V ἐκτεθείσησ πίστεωσ SDA παρὰ om. A 3 τὸ τηνικαῦτα om. V περιέχει S 4/5 om. DA 4 λιβάδοσ V 6—8 om. V 6 φαιδοῦσ A φρονήσαντα A 10 τῆσ ἐκτεθείσησ πίστεωσ V 11 ἀναγκαίως om. V 13 ἀντέου VSD 15 ὡς om. SDA 17 φοιβάμων DA Κοπτοῦ om. SD οὐδαμοῦ V σύμφωνα D σύμφωνασ S 18 παρὰ om. SD 19 ἀλλ' — Κυρίλλου om. SD οὔτε V 20 ἀνάθεμα τοῖσ — πιστεύουσιν V ἀναθεματίζω τοὺσ οὕτω πιστεύοντασ SDA 21 καββάσσων V δῆλον S 22 ἄλλα V ἁγίων om. V 23 τὰ αὐτὰ αὐτῶ φρονοῦντασ ἢ φρονήσοντασ A 24 θμούσεωσ V 25 καὶ om. S 27 μυσαρὸν DA μιαρὸν S δύσερι VP 28 τοῦ εὐλαβεστάτου om. S 29 ἀποκνέει A 30 μη̄ V μς P εἶτα πάντεσ M ἀνεφώνησαν M συνεφώνησαν P ἀνεβόησαν Vm 31 τοῦτον — πίστις ἀναθεματίζει] τοῦ νεστορίου ἡ πίστισ ἀνάθεμα εἴη A 31/32 τοῦτον[2] — ἁγία σύνοδος ἀναθεματίζει om. V 31 τοῦτον [τὸν δυσσεβῆ νεστόριον A] ἡ σύνοδοσ ἀναθεματίζει MPA$\Lambda^{cu}$ om. SD$\Lambda^{t}$ 31/32 τοῦτον ἡ ἁγία σύνοδοσ ἀναθεματίζει MPSDA$\Lambda^{tu}$ om. $\Lambda^{c}$ 32 post ἔστω ins. *Qui sapit ea quae sunt Nestorii, anathema sit* $\Lambda^{c}$ καὶ πάντεσ VMP 33 τὸ δόγμα A

πάντες ἀναθεματίζομεν. Τοὺς κοινωνοῦντας Νεστορίωι πάντες ἀναθεματίζομεν. Τὴν ἀσεβῆ πίστιν Νεστορίου πάντες ἀναθεματίζομεν. Τὸ ἀσεβὲς δόγμα Νεστορίου πάντες ἀναθεματίζομεν. Τὸν ἀσεβῆ Νεστόριον πάντες ἀναθεματίζομεν. Ὅλη ἡ οἰκουμένη ἀναθεματίζει τὴν ἀσεβῆ θρησκείαν Νεστορίου. Ὁ τοῦτον μὴ ἀναθεματίζων ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει. Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίωι ἀνάθεμα ἔστω. Τοῦ Ῥωμαίων ἁγιωτάτου ἐπισκόπου τό γράμμα ἀναγνωσθῆι.

49 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω καὶ τὰ γράμματα τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Κελεστίνου, ἅπερ ἀπέστειλε περὶ τῆς πίστεως.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

ep. 10 Ἑρμηνεία ἐπιστολῆς Κελεστίνου ἐπισκόπου Ῥώμης πρὸς Νεστόριον· Τῶι ἀγαπητῶι ἀδελφῶι Νεστορίωι Κελεστῖνος. Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν μετὰ τὸ ἀνόσιον καὶ πολλάκις κατακριθὲν δόγμα Πελαγίου καὶ Κελεστίου ἡ καθολικὴ πίστις εἰρήνευσε καὶ τὰ λοιπά.

M IIII 1180 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Τούτοις τοῖς ἀναγνωσθεῖσι σύμφωνα γέγραφεν ἡ ἁγιότης τοῦ θεοσεβεστάτου ἐπισκόπου ἡμῶν Κυρίλλου, ἃ καὶ μετὰ χεῖρας ἔχομεν, καὶ εἰ κελεύσειεν ὑμῶν ἡ θεοσέβεια, ἀναγνωσόμεθα.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἀναγνωσθέντα καὶ ταῦτα ἐμφερέσθω τοῖς πραττομένοις.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

ep. 6 Τῶι εὐλαβεστάτωι καὶ θεοσεβεστάτωι συλλειτουργῶι Νεστορίωι Κύριλλος καὶ ἡ συνελθοῦσα σύνοδος ἐν Ἀλεξανδρείαι ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως ἐν κυρίωι χαίρειν. Τοῦ
Mt. 10, 37 σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος καὶ τὰ λοιπά.

L III 503 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὴν καὶ ἐντεθῆναι τοῖς ὑπομνήμασι Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Οὐ μόνον δὲ ταῦτα τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπου Κελεστίνου ἀπέ-

---

VM, P [= hk], S, D [= mn], A, H [inde a 16 usque ad 20], Λ$^{tcu}$

1—3 τὴν — ἀναθεματίζομεν$^{1}$ om. SD  1/2 τὴν ἀσεβῆ — ἀναθεματίζομεν om. MP  2 ἄθεον A  4 νεστορίου SDAΛ αὐτοῦ VMP  τοῦτο A  5/6 τοῦτον$^{1}$ — ἔστω om. A  6/7 τοῦ — ἀναγνωσθῆι om. Λ$^{u}$  6 ἁγιωτάτου καὶ θεοφιλεστάτου A  ἀρχιεπισκόπου MΛ$^{t}$  7 ἀναγνωσθῇ AΛ$^{tc}$ ἀναγνωσθήτω V ἀνάγνωθι MPSD  8 $\overline{μθ}$ V μζ MP $\overline{κθ}$ S λ' D  ὁ εὐλαβέστατοσ ἐπίσκοποσ A καὶ om. AΛ$^{c}$ Conc. quintum  9 ἁγιωτάτου καὶ θεοσεβεστάτου VMPAΛ$^{t}$ θεοσεβεστάτου καὶ ἁγιωτάτου SDΛ$^{cu}$  ἀνδρὸσ κελεστίνου τοῦ τῆσ ῥωμαίων ἀρχιεπισκόπου M  ἐπισκόπου SD  ῥωμαίων VPΛ ῥωμαίων ἐκκλησίασ SDA  ἐπέστειλε P  11—15 καὶ ἀνεγνώσθη καθὼσ προεγράφη A  11 καὶ om. D  11. 16. 21 πριμμικήριοσ M$^{corr}$ PSD πριμμηκήριοσ V  11 εἶπεν· ἀνέγνων VMP  12 ἐπισκόπου κελεστίνου V  14 πελαγίου κελεστίου [κελεστίνου P] VMP  14/15 *et cetera* Λ$^{tc}$ καὶ τὰ λοιπὰ ὥσπερ [ὡσ MP] προλάμπει VMP καὶ ἀνεγνώσθη καθὼσ προτέτακται SD  16 καὶ μετὰ τὸ ἀναγνωσθῆναι πᾶσαν πέτ[ρ]οσ HΛ$^{c}$  νοταρίων om. M  17 γεγράφηκεν SD  ἡμῶν ἐπισκόπου VMP  18 ἃ om. SDA  κελεύει S  ἀναγνωσθησόμεθα S ἀναγνώσωμαι H  19 ἀναγινωσκέσθω SD  20 πραττομένοισ VAΛ ὑπομνήμασιν MPSD ὑπομνήμασιν καὶ προεκομίσθη ἐν ἐφέσω ἡ ἐπιστολὴ τοῦ ἐν ἁγίοισ κυρίλλου ἡ πρὸσ νεστόριον, sequitur ipsa epistula H  21—25 om. A  21 καὶ μετὰ τὸ — ὑπομνήμασι πέτροσ — εἶπε [26/27] V  νοταρίων om MS  22 καὶ θεοσεβεστάτωι om. M  θεοφιλεστάτωι VP  25 *et cetera* Λ$^{tc}$ καὶ ἀνεγνώσθη καθὼσ προτέτακται SD καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιοσ [καὶ ὁ — ἄξιος om. VM] τί πάθωμεν ἡμεῖς οἱ παρὰ τῆσ σῆσ εὐλαβείασ ἀπαιτούμενοι τὸ ὑπεραγαπᾶν σε τοῦ πάντων ἡμῶν σωτῆροσ $\overline{χυ}$ καὶ τὰ λοιπὰ ὥσπερ προλάμπει VMP  26 λα' D  Καὶ — ὑπομνήμασι AΛ om. VMPSD  αὐτὰ V [cf. 21]  27 Ἀλεξανδρείας om. M  πριμμικήριοσ VM$^{corr}$ PSD νοταρίων om. M  28 ὁσιωτάτου καὶ ἁγιωτάτου SD ὁσιωτάτου M  τῆσ — ἐκκλησίασ ἐπισκόπου VPAΛ ἐπισκόπου τῆσ — ἐκκλησίασ SD τῆσ ῥωμαίων ἐπισκόπου M  28—p. 37, 1 ἐπέσταλται M

σταλται καὶ ἀποδέδοται αὐτωι τῶι εὐλαβεστάτωι Νεστορίωι, ἀλλὰ γὰρ καὶ τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου καὶ τῆς σύνοδου πάσης τῆς Αἰγυπτιακῆς διὰ Θεοπέμπτου καὶ Δανιὴλ καὶ Ποτάμωνος καὶ Κομαρίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ παρακαλῶ ἐρωτᾶσθαι Θεόπεμπτον καὶ Δανιὴλ τοὺς εὐλαβεστάτους ἐπισκόπους ἐνταῦθα τυγχάνοντας περὶ τούτου.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Κατατιθέσθωσαν οἱ εὐλαβέστατοι συλλειτουργοὶ ἡμῶν Θεόπεμπτος καὶ Δανιὴλ οἱ παρόντες εἴ γε ἀποδεδώκασι τὰς ἐπιστολάς.

50 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Εἰς τὸ ἐπισκοπεῖον ἀνελθόντες ἐν ἡμέραι d. 30. m. Nou. 430 κυριακῆι, συνάξεως ἐπιτελουμένης, παρόντος παντὸς τοῦ κλήρου καὶ τῶν ἰλλουστρίων σχεδὸν πάντων, ταῦτα ἀποδεδώκαμεν Νεστορίωι τὰ γράμματα.

Δανιὴλ ἐπίσκοπυς Δάρνεως εἶπεν· Εἰς τό ἐπισκοπεῖον ἀνελθόντες ἐν ἡμέραι κυριακῆι παρόντος παντὸς τοῦ κλήρου καὶ τῶν ἰλλουστρίων σχεδὸν πάντων ταῦτα ἀποδεδώκαμεν Νεστορίωι τὰ γράμματα.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἐποίησεν οὖν τὸ ἱκανὸν τοῖς γραφεῖσιν;

Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπεν· Εἶπεν ἡμῖν τότε ὥστε ἐλθεῖν τῆι ἑξῆς ἡμέραι καὶ ἰδιάσαι αὐτῶι. ἀλλ' ἡμῶν ἀπελθόντων, ἀπέκλεισεν ἡμῖν τὰς θύρας καὶ οὐκ ἠξίωσεν ἡμᾶς ἀποκρίσεως.

Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Δεξάμενος τὰ προειρημένα χαρτία, συνετάξατο ἡμῖν τῆι ἑξῆς συντυχεῖν αὐτῶι. ἀπήλθομεν, εἶτα ἀπελθόντας οὐκ ἐδέξατο οὔτε μὴν τὸ ἱκανὸν τοῖς γράμμασι πεποίηκεν, ὥστε ἐπ' ἐκκλησίας τὰ αὐτά καὶ χείρονα δογματίζειν. cf. Coll. Pal. 23 οὐ μόνον δὲ πρὸ τοῦ λαβεῖν τοὺς χάρτας ταῦτα ἐδίδασκεν, ἀλλὰ καὶ πολλῶι χείρονα μετὰ τὸ λαβεῖν ἐδίδαξεν ἕως τῆς σήμερον ἡμέρας.

51 Φεῖδος ἐπίσκοπος Ἰόππης εἶπεν· Ὅτι ἐπιμένει ἕως σήμερον τῆι αὐτῆι διδασκαλίαι, M IIII 1181 δύνανται λέγειν καὶ οἱ παρόντες θεοσεβέστατοι ἐπίσκοποι Ἀκάκιος καὶ ὁ κύρις Θεόδοτος, οἳ καὶ διαλέξεις πρὸς αὐτὸν ἐποιήσαντο, ὥστε καὶ κινδυνεῦσαί τινα ἀπ' αὐτῶν. οὓς καὶ παρακαλοῦμεν καὶ ὁρκίζομεν κατὰ τῶν προκειμένων ἁγίων εὐαγγελίων ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων εἰπεῖν τί ἤκουσαν πρὸ τριῶν τούτων ἡμερῶν παρ' αὐτοῦ Νεστορίου. d. 20. m. Iun. 431

52 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τοῦ πάντων κεφαλαιωδεστέρου πράγματος, φημὶ δὴ τῆς εἰς Χριστὸν πίστεως, ἀκόλουθόν ἐστι τοὺς εὐλαβεστάτους καὶ τά πάντα θεοφιλεστάτους ἐπισκόπους Θεόδοτον

---

VM, P [= hk], S, D [= mn], ΑΛ$^{tcu}$

1 ἀποδίδοται VM ἀσεβεστάτω D 2 θεοσεβεστάτου καὶ ἁγιωτάτου SD ἁγιωτάτου M ἐκκλησίας om. MSDA 3 πάσησ τῆσ αἰγυπτιακῆσ VMPSDΛ τῶν τῆσ αἰγυπτιακῆσ διοικήσεωσ Λ διά om. P καὶ Ποτάμωνος καὶ Κομαρίου om. A Κομαρίου] μακαρίου D 4 καὶ om. V ἐρωτᾶσθαι] παραγενέσθαι A 5 τυγχάνοντας — τούτου om. A περὶ τούτου om. P αὐτοῦ τούτου VM 6 ἐπίσκοπος om. M κατατιθέτωσαν P 7 γε om. P 8 ν̄ V μη̄ P λ̄ S καβάσσων VP ἐλθόντεσ A ἐν om. A 9 κυριακῆσ S παντὸσ τοῦ SD παντὸσ VMP *omni* Λ$^{c}$ τοῦ ΑΛ$^{tu}$ ἰλουστρίων S 10 ἐπιδεδώκαμεν MP 11—13 Δανιὴλ — γράμματα MPAΛ ὁμοίωσ δὲ καὶ δανιὴλ ἐπίσκοποσ δάρνεωσ τὰ αὐτὰ κατέθετο SD om. V 11/12 κυριακῆι om. A 12 παντός τοῦ] παντὸσ MP *omni* Λ τοῦ A ἐπιδεδώκαμεν P 14 ἐπίσκοπος om. M γραφεῖσιν MPDAΛ γράμμασιν VS 15—17 om. M 15 δάρνεων V(M) τό γε S 16 ἡμῶν PSDA οὖν V ἡμῖν om. S 18 ἐπίσκοπος om. M καβάσσων VP 19 ἑξῆσ ἡμέρα ΑΛ$^{cu}$ συνελθεῖν καὶ συντυχεῖν SD ἀπελθόντεσ P 20 ἐκκλησίαισ S post ἐκκλησίας ins. *ex tunc* Λ$^{c}$ 21 χάρτας] ἄρχοντασ S ἐδίδαξεν S 21/22 πολλῶι χείρονα om. P 22 ἐδίδαξεν om. P post ἡμέρας habet δανιὴλ ἐπίσκοποσ δάρνεων τὰ αὐτὰ τῷ θεοπέμπτῳ ἐξεῖπε M cf. Λ$^{t}$ 23 νᾱ V μθ P ὅτι εἰ D ἕωσ VM ἕωσ τῆσ P μέχρι τῆσ SDA 24 κύρισ MA κύριοσ PSD in spatio uacuo om. V 25 τινασ SD τὴν MP 26 ἐπὶ om. MP 27 τριῶν τούτων SDAΛ τούτων τῶν VMP παρὰ τοῦ DA 28 superscr. rubro διαλαλιὰ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ περὶ τῶν αὐτοῦ δυσφημιῶν V ὁ λόγοσ ἡμῖν M νβ̄ V ν̄ P 29 πάντων ἡμῶν A τῆσ VMPΛ$^{tc}$ τῆσ ὀρθῆσ SDAΛ$^{u}$ 30 καὶ τὰ πάντα [τὰ πάντα om. SD] θεοφιλεστάτουσ SDAΛ$^{c}$ om. VMPΛ$^{t}$

καὶ Ἀκάκιον κατὰ τὰς παρακλήσεις τοῦ εὐλαβεστάτου ἐπισκόπου Φείδου καὶ τοὺς ὁρκισμοὺς τοὺς ἐπενεχθέντας, φιλαλήθεις ὄντας καὶ ἁγίους, εἰπεῖν ἅπερ ἀκηκόασι λέγοντος αὐτοῦ ἐν τῆι Ἐφεσίων πόλει, διάλεξιν πρὸς αὐτὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως κινήσαντες.

**53** Θεόδοτος ἐπίσκοπος Ἀγκύρων εἶπεν· Ὀδυνῶμαι μὲν ὑπὲρ φίλου, πλὴν πάσης φιλίας L III 498 προτιμῶ τὴν εὐσέβειαν· δι᾽ ὃ ἀνάγκην ἔχω καὶ μετὰ πολλῆς ἀθυμίας περὶ ὧν ἐρωτῶμαι, τὴν ἀλήθειαν ἐκφράσαι. οὐκ οἶμαι χρείαν εἶναι τῆς ἡμῶν μαρτυρίας τοῦ φρονήματος αὐτοῦ δήλου γεγενημένου ἐκ τοῦ γράμματος τοῦ πρὸς τὴν σὴν θεοσέβειαν. ἃ γὰρ ἐκεῖ ἀπηγόρευσε περὶ τοῦ θεοῦ λέγεσθαι, τουτέστι τοῦ μονογενοῦς, ὀνειδίζων αὐτῶι τὰ ἀνθρώπινα, ταῦτα καὶ ἐνταῦθα διαλεγόμενος ἔφη μὴ δεῖν περὶ θεοῦ λέγειν γαλακτοτροφίαν μηδὲ γέννησιν τὴν ἐκ παρθένου. οὕτως καὶ ἐνταῦθα πολλάκις ἔφη διμηνιαῖον ἢ τριμηνιαῖον μὴ δεῖν λέγεσθαι θεόν, καὶ ταῦτα οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ ἕτεροι πλείονες ἀκηκόαμεν οὐ πρὸ πολλῶν ἡμερῶν πρὸς ἡμᾶς αὐτοῦ ἐν Ἐφέσωι διαλεγομένου.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Πίστεως προκειμένης καὶ τῆς εἰς θεὸν εὐσεβείας, ἀνάγκη πᾶσαν σχολάζειν διάθεσιν· ὅθεν εἰ καὶ σφόδρα ὑπὲρ τοὺς ἄλλους τὸν κύριν Νεστόριον ἠγάπησα καὶ παντοίως αὐτὸν περισῶσαι ἐσπούδασα, ἀνάγκη νῦν φιλαλήθως τὰ παρ᾽ αὐτοῦ εἰρημένα εἰπεῖν ὑπὲρ τοῦ μὴ κατακριθῆναί μου τὴν ψυχὴν ἀποκρύψαντος τἀληθῆ. παραχρῆμα ἐπιστὰς τῆι Ἐφεσίων πόλει ἐποιησάμην πρὸς τὸν προειρημένον ἄνδρα διάλεξιν καὶ γνοὺς αὐτὸν οὐκ ὀρθῶς φρονοῦντα παντοίως ἐσπούδασα αὐτὸν διορθώσαοθαι καὶ ἀποστῆσαι τοῦ πονηροῦ φρονήματος αὐτόν τε ἐκεῖνον ἑώρων τοῖς χείλεσι συνομολογοῦντα ὅτι δὴ μετατίθεται τῆς τοιαύτης ἐννοίας, ἡμέρας δὲ δέκα ἢ δώδεκα διαλιπών, πάλιν λόγου τινὸς κινηθέντος, ἀντελαβόμην τοῦ τῆς ἀληθείας λόγου καὶ ἀντιπίπτοντα αὐτὸν τούτωι ἑώρων καὶ δύο ἀτόποις κατὰ τὸ αὐτὸ ἐγίνωσκον περιπίπτειν. πρότερον μὲν γὰρ ἐκ τῆς αὐτοῦ ἐπερωτήσεως ἀτόπου οὔσης ἀνάγκην ἐπετίθει τοῖς ἀποκρινομένοις ἢ πάντηι ἀρνήσασθαι τὴν τοῦ μονογενοῦς θεότητα ἐνηνθρωπηκέναι ἢ ὁμολογεῖν, M IIII 1184 ὅπερ ἦν ἀσεβές, ὅτιπερ καὶ ἡ τοῦ πατρὸς καὶ ἡ τοῦ ἁγίου πνεύματος θεότης συνεσαρκώθη τῶι λόγωι, ἅπερ ἦν παντὶ τρόπωι κακοτεχνοῦς διανοίας καὶ ἐκβαλλούσης τὴν εὐσεβῆ πίστιν. ἔπειτα δευτέρου κινηθέντος λόγου, ἀντελάβετό τις συνὼν αὐτῶι ἐπίσκοπος τοῦ λόγου καὶ ἄλλον μὲν ἔφησεν εἶναι τὸν υἱὸν τὸν τὸ πάθος ἀναδεξάμενον, ἄλλον δὲ τὸν θεὸν λόγον. πρὸς ἣν βλασφημίαν, οὐχ ὑπενεγκεῖν δυνηθείς, συνταξάμενος πᾶσιν ἐξῆλθον. καὶ ἕτερος δὲ τῶν σὺν αὐτῶι συνηγόρει τοῖς Ἰουδαίοις ὡς οὐκ εἰς θεόν, ἀλλ᾽ εἰς ἄνθρωπον ἠσεβηκόσιν.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Φανερᾶς οὔσης τῆς καταθέσεως τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων συλλειτουργῶν ἡμῶν Θεοδότου καὶ Ἀκακίου, ἀκόλουθόν ἐστιν ἣν εἶχον περὶ τῶν προκειμένων δόξαν οἱ μακάριοι πατέρες ἡμῶν καὶ ἐπίσκοποι, ἀναγνωσθῆναι καὶ ἐμφέρεσθαι τοῖς πραττομένοις.

---

10—11 cf. infra 67

---

VM, P [= hk], S, D [= mn], A, Λ$^{tcu}$

1 φείδου ἐπισκόπου P    1/2 τοὺσ ἐπενεχθέντασ ὁρκισμοὺσ M    ὅρκουσ P    3 περὶ D    4 ν̅γ̅ V ν̅α̅ P    ἀγκύρασ P    5 προτιμῶμαι M    διὸ καὶ SD    6 ἐκφάναι V    7 γενομένου S    8 ἀπηγόρευε A    9 θ̅υ̅ MPAΛ θ̅υ̅ λόγου VSD    10 διμηναῖον ἢ τριμηναῖον VP    11 θ̅ν̅ λέγεσθαι S    ἀκηκόασιν PΛ$^{tc}$    12 διαλεγομένου ἐν ἐφέσω A ἐνταῦθα ἐν τῆ ἐφεσίων διαλεγομένου SD    13 ἐπίσκοπος om. M    τὸν θ̅ν̅ V    14 κύριον MPA    16 περὶ A    ἀποκρύψαντα D    17 τὰ ἀληθῆ SD τἀληθὲσ V    ἐπιστὰσ ex ἐφιστὰσ corr. S σπείσασ MP    18 ὀρθὰ SD    αὐτὸν ἐσπούδασα VMP    19 τοῦ φρονήματοσ αὐτὸν τοῦ πονηροῦ ἑώρων τε αὐτὸν ἐκεῖνον A    19/20 τοῖσ χείλεσι om. P    20 δὲ om. PΛ$^{t}$    20/21 διαλείπων MP    22 τοῦτον P    ταυτὸν SD    25 καὶ ἡ τοῦ ἁγίου π̅ν̅σ̅ SDAΛ καὶ ἡ τοῦ υἱοῦ P καὶ ἡ τοῦ υἱοῦ καὶ ἡ τοῦ π̅ν̅σ̅ VM    26 θ̅ω̅ λόγω V    κακοτέχνου SDA    ἐκβαλούσησ SD    ὀρθὴν V, corr. V$^{mg}$    28 μὲν om. SDA    ἔφησεν εἶναι MPA εἶναι ἔφη V ἔφη SD    29 οὐκέτι ἐνεγκεῖν SDA    καὶ om. SD    30 ὡς οὐκ] οὐχ ὡσ A    ὡσ εἰσ A    ἀσεβήσασι MSDA    31 λβ′ D    πάντων τῶν A    32 καὶ θεοσεβεστάτων om. SDA    33 εἶπον D    ἡμῶν πατέρεσ A    καὶ οἱ ἐπίσκοποι SD om. Λ$^{tc}$

54 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἐπειδὴ μετὰ χεῖρας ἔχομεν καὶ βιβλία τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων πατέρων καὶ ἐπισκόπων καὶ διαφόρων μαρτύρων, ἐπελεξάμεθα δὲ ἐκ τούτων ὀλίγα κεφάλαια, εἰ παρίσταται, ἀναγνωσόμεθα. L III 507
Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Καὶ ταῦτα ἀναγνωσθέντα ἐμφερέσθω.
Καὶ ἀνεγνώσθη οὕτως

Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ θεότητος βιβλίου

[I] Ἐπεὶ καὶ ἀληθῶς ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο Ioh. 1, 17
(ὅθεν καὶ χάριτι ἐσμὲν σεσωσμένοι κατὰ τὸ ἀποστολικὸν ῥητὸν καὶ τοῦτο, φησίν, οὐκ Eph. 2, 8
ἐξ ἡμῶν· θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται), θελήματι θεοῦ
ὁ λόγος σὰρξ γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος οὐκ ἀπελείφθη τῆς Phil. 2, 7
θεότητος. οὐδὲ γὰρ ἵνα τῆς δυνάμεως αὐτοῦ ἢ δόξης τέλεον ἀποστῆι, πτωχεύσας πλού- 2 Cor. 8, 9
σιος ὤν, τοῦτο ἐγένετο, ἀλλ' ἵνα καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀναδέξηται,
δίκαιος ὑπὲρ ἀδίκων, ὅπως ἡμᾶς προσαγάγηι τῶι θεῶι, θανατωθεὶς μὲν 1 Petr. 3, 18
σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι.

[II] Καὶ μεθ' ἕτερα· Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο Ioh. 1, 14
καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τότε δηλονότι ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον
εἰπών· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. τὸ γὰρ ὁ κύριος μετὰ σοῦ Lc. 1, 28
νῦν ἔστιν ἀκοῦσαι τοῦ Γαβριὴλ ἀντὶ τοῦ ὁ θεὸς λόγος μετὰ σοῦ· σημαίνει γὰρ αὐτὸν
γεννώμενον ἐν μήτραι καὶ σάρκα γενόμενον, καθὼς γέγραπται· πνεῦμα ἅγιον ἐπελεύσεται Lc. 1, 35
ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον
κληθήσεται υἱὸς θεοῦ.

[III] Καὶ πάλιν μεθ' ἕτερα· Ὁ δὲ θεὸς λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν κατὰ βούλησιν τοῦ τὰ πάντα δυναμένου κατεργάσασθαι θεοῦ γέγονεν ἐν μήτραι τῆς παρθένου σάρξ, μὴ ἐπιδεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας ἢ παρουσίας. ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν ἡ τοῦ θεοῦ δύναμις ἐπισκιάσασα τῆι παρθένωι σὺν τῶι ἐπεληλυθότι ἁγίωι πνεύματι.

Ἀθανασίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ Κατὰ Ἀρειανῶν βιβλίου M IIII 1185

[IIII] Πολλοὶ γοῦν ἅγιοι γεγόνασι καὶ καθαροὶ πάσης ἁμαρτίας, Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας c. Ar. 3, 33
ἡγιάσθη καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῆι φωνῆι τῆς θεο- Ier. 1, 5 Lc. 1, 44
τόκου Μαρίας· καὶ ὅμως ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως καὶ Rom. 5, 14
ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῶι ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ
καὶ οὕτως ἔμενον οὐδὲν ἧττον οἱ ἄνθρωποι θνητοὶ καὶ φθαρτοί, δεκτικοὶ τῶν ἰδίων τῆς

---

I—III altera uersio extat ap. Eutychen in florilegio 8
II = Cyrill. apol. adu. Orient. 13; Tim. arm. p. 72, syr. f. 1[h]

---

VM, P [= hk], S, D [= mn], A, RΛ[tcu] (A75)

1 inscr. χρήσεισ ἁγίων πατέρων προενεχθεῖσαι παρὰ τοῦ μακαρίου κυρίλλου ἐν τῆ συνόδω κατὰ νεστορίου R νδ V νβ P Ἀλεξανδρείας om. MΛ[t] πριμμικήριοσ M[corr] PSD νοταρίων om. M 2 καὶ βιβλία om. A 3 ἃ εἰ MPΛ παρίσταται ὑμῖν D 4 ἐπίσκοπος om. M λα S καὶ om. R ἐμφερέσθωσαν R 6 τοῦ om. VMP ἐπισκόπου VPRΛ[tcu] A75 ἐπισκόπου ἀλεξανδρείασ SDA 7 καὶ[1] om. A 9 ὑμῶν M τοῦ θεοῦ SD 11 αὐτοῦ δυνάμεωσ A τῆσ δόξησ SD 12 ἵνα om. V 13 τῶι om. VMP *deo patri* Λ[tu] 16 δηλονότι] δὴ τότε V ἠσπάσατο ὁ ἄγγελοσ R 17 καὶ εἶπε SD καὶ εἰπὼν A τὸ γὰρ — σοῦ om. MPSD 18 ὁ om. S 19 γενόμενον VMPR γινόμενον DA γιγνόμενον SA75 20 γενόμενον S 22 μεθ' ἕτερα πάλιν D μεθ' ἕτερα A δὲ om. V 23 τὰ om. VA 23/24 μὴ — παρουσίας om. S 24 δεηθείσ DA75 25 ἡ θεοῦ V 26 αὐτοῦ βιβλίου A 27 ἅγιοι καὶ καθαροὶ γεγόνασιν R καὶ om. SD καὶ om. P κοιλίασ μητρόσ V 31 οἱ om. AR 31—p. 40, 1 τῆσ φύσεωσ ἰδίων P

φύσεως παθῶν. νῦν δὲ τοῦ λόγου γενομένου ἀνθρώπου καὶ ἰδιοποιουμένου τὰ τῆς σαρκός, οὐκέτι ταῦτα τοῦ σώματος ἅπτεται διὰ τὸν ἐν αὐτῶι γενόμενον λόγον, ἀλλὰ ὑπ' αὐτοῦ μὲν ἀνήλωται, λοιπὸν δὲ οἱ ἄνθρωποι οὐκέτι κατὰ τὰ ἴδια πάθη μένουσιν ἁμαρτωλοὶ καὶ νεκροί, ἀλλὰ κατὰ τὴν τοῦ λόγου δύναμιν ἀναστάντες ἀθάνατοι καὶ ἄφθαρτοι ἀεὶ δια- L III 510 μένουσιν. ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας, αὐτὸς λέγεται γεγεννῆσθαι ὁ τοῖς ἄλλοις γέννησιν εἰς τὸ εἶναι παρασχών, ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῆι γέννησιν καὶ μηκέτι ὡς γῆ μόνη ὄντες εἰς γῆν ἀπέλθωμεν, ἀλλ' ὡς τῶι ἐξ οὐρανοῦ λόγωι συναφθέντες εἰς οὐρανὸν ἀναχθῶμεν παρ' αὐτοῦ. οὐκοῦν οὕτως καὶ τὰ ἄλλα πάθη τοῦ σώματος οὐκ ἀπεικότως εἰς ἑαυτὸν μετέθηκεν, ἵνα μηκέτι ὡς ἄνθρωποι, ἀλλ' ὡς 1 Cor. 15, 22 ἴδιοι τοῦ λόγου τῆς αἰωνίου ζωῆς μετασχῶμεν. οὐκέτι γὰρ κατὰ τὴν προτέραν γένεσιν ἐν τῶι Ἀδὰμ πάντες ἀποθνήισκομεν, ἀλλὰ λοιπὸν τῆς γενέσεως ἡμῶν καὶ πάσης τῆς σαρκικῆς ἀσθενείας μετατεθέντων εἰς τὸν λόγον ἐγειρόμεθα ἀπὸ γῆς, λυθείσης τῆς δι' ἁμαρ- Gal. 3, 13 τίαν κατάρας διὰ τὸν ἐν ἡμῖν ὑπὲρ ἡμῶν γενόμενον κατάραν.

### Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς

ad Epict. 2 [V] Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος υἱὸς μὲν τῆι οὐσίαι καὶ φύσει τοῦ θεοῦ ἐστιν, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαυίδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας, τινὲς δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον καὶ σωτῆρα καὶ θεὸν καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν καὶ ἕτερον τὸν τοῦ θεοῦ λόγον τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι Χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν υἱὸν καὶ ἄλλον τὸν τοῦ θεοῦ λόγον;

[VI] Καὶ μεθ' ἕτερα πάλιν· Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑ- ad Epict. 7 πέλαβον, ἀλλ' ὄντως ἀληθείαι ἀνθρώπου γενομένου τοῦ σωτῆρος ὅλου τοῦ ἀνθρώπου σωτη- M IIII 1188 ρία ἐγίνετο. εἰ γὰρ θέσει ἦν ἐν τῶι σώματι ὁ λόγος κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδε σώματος μόνου, ἀλλὰ ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία γέγονεν· ἀνθρώπινον φύσει τὸ ἐκ Μαρίας κατὰ τὰς θείας γραφὰς καὶ ἀληθινὸν ἦν τοῦ σωτῆρος.

---

IIII 5—7 γέννησιν = Cyrill. apol. adu. Orient. 14
V = ibid. 15; 14—22 Tim. arm. p. 76. 77

---

VM, P [= hk, usque ad 27 δοκήσει καὶ], S, D [= mn], ARΛ[tcu] (A75)
2 θεὸν λόγον VA 3 ἀνάλωται A μένουσι πάθη P 4/5 διαμενοῦσιν ἀεὶ A 5 γενομένησ SD 6 γεγενῆσθαι SA τὴν γέννησιν VMP παρασχὼν SDAR (A75) παρέχων VMP αὐτὸν P 7 γένεσιν VMP ὄντεσ μόνη VSDA, corr. V 8 παρ' SDAR (A75) ὑπ' V[corr] MP δι' VΛ[t] οὕτως om. AR 9 ἄνθρωποι VMPARΛ (A75) ἄνθρωποι ἀποθνήυκωμεν SD 10 αἰωνίου] ἑαυτοῦ P 11 πάντες om. Λ[t] cf. A75 12 μεταθέντων P γῆσ SnAR τῆσ VMPm τῆς om. VP 12/13 ἁμαρτίασ S 13 κατάραν R ὑπὲρ ἡμῶν om. R 14 αὐτοῦ ἁγίου ἀθανασίου P αὐτοῦ ἀθανασίου Λ 16 κσ̄ δσ υἱόσ P οὐκ ἐκ SD corr. n 17 τοῦ δᾱδ SDR τίνες Λ[tcu] Tim. cf. A75 οὕτω om. Λ[t] 18 σαρκὶ παθόντα] σαρκωθέντα P 21 ἕτερον[2]] ἄλλον M 23 χριστιανοὶ εἶναι A 24 δὲ πάλιν S δὲ om. SDΛ[tu] ἐγένετο VMP καθὼσ D 24—26 μὴ γένοιτο — ἐγίνετο om. P 26 ἐγίνετο SAA75 ἐγένετο VMDR ἐν τῶι] τὸ R 27 φαντασίασ VP δοκήσει εὑρίσκεται V ἡ σωτηρία — p. 42, 2 om. P 30 ἀνθρώπινον MAR Λ[tcu] cf. A75 ἀνθρώπινον γὰρ VSD

Ἰουλίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ῥώμης ἐκ τῆς πρὸς Προσδόκιον ἐπιστολῆς

[VII] Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπωι ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων), τέλειος θεὸς ἐν σαρκὶ καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ, ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῶι, μονογενὴς ἐπὶ γῆς θεός. Lietzmann, Apollinaris p. 284

Φήλικος τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος ἐκ τῆς πρὸς Μάξιμον τὸν ἐπίσκοπον καὶ τὸν κλῆρον τῆς Ἀλεξανδρείας ἐπιστολῆς L III 511

[VIII] Περὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν ἐκ τῆς παρθένου Μαρίας γεννηθέντα ὅτι αὐτός ἐστιν ὁ τοῦ θεοῦ ἀίδιος υἱὸς καὶ λόγος καὶ οὐκ ἄνθρωπος ὑπὸ θεοῦ ἀναληφθείς, ἵν' ἕτερος ἦι παρ' ἐκεῖνον. οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ θεοῦ υἱός, ἵνα ἦι ἕτερος παρ' αὐτόν, ἀλλὰ θεὸς ὢν τέλειος γέγονεν ἅμα καὶ ἄνθρωπος τέλειος, σαρκωθεὶς ἐκ παρθένου. Lietzmann, Apollinaris p. 318

Θεοφίλου τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ἀλεξανδρείας ἐκ τῆς πέμπτης ἑορταστικῆς ἐπιστολῆς

[VIIII] Ἔστιν γὰρ καὶ νῦν τῶν τότε θαυμάτων τὰ λείψανα. μὴ ἀπιστείτωσαν ὅτι δύναμις θεοῦ ἰσχύει ποιεῖν παρθένον ἀποτίκτειν, ἐν ἧι γενόμενος ὁ ζῶν τοῦ θεοῦ λόγος διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν (ἄλλως γὰρ ἡμῖν συνομιλεῖν αὐτὸν ἐγγύτερον οὐχ οἷόν τε ἦν), ἵνα μὴ ἐξ ἡδονῆς καὶ ὕπνου, καθάπερ ἐπὶ τῶν ἄλλων ἀνθρώπων ἔχει, δέξηται σῶμα, τὸ ἐν ὁμοιώματι τούτου λαμβάνει ἐκ παρθένου τικτόμενος ἄνθρωπος φαινόμενος μὲν ὡς ἡμεῖς κατὰ τὴν δουλείαν μορφήν, ἐκ δὲ τῶν ἔργων ἀποδεικνύμενος ὅτι τῶν ἁπάντων δημιουργὸς καὶ κύριός ἐστι, πράττων ἔργα θεοῦ. Sap. Sal. 7, 2

Τοῦ αὐτοῦ ἐκ τῆς ἕκτης ἑορταστικῆς ἐπιστολῆς

[X] Οἷα γὰρ τῶν τεχνιτῶν οἱ ἄριστοι οὐκ ἐν τιμίαις μόνον ὕλαις τὴν τέχνην ἐκφαίνουσι θαυμαζόμενοι, ἀλλ' εὐτελοῦς πηλοῦ καὶ κηροῦ διαλυομένου πολλάκις ἐπειλημμένοι τῆς ἐπιστήμης ἑαυτῶν ἐπιδεικνύουσι τὴν δύναμιν πολλῶι μᾶλλον ἐπαινούμενοι, οὕτως ὁ πάντων ἀριστοτέχνας, ὁ ζῶν καὶ ἐνεργὴς τοῦ θεοῦ λόγος, τάξεως ἁρμονίαι διακοσμήσας τὰ σύμπαντα, οὐχ οἷά τινος τιμίας ὕλης, οὐρανίου λαβόμενος σώματος, πρὸς ἡμᾶς ἀφῖκται, ἀλλ' M IIII 1189; Pind. frg. 57

VII = Cyrill. l. c. 52; 3—6 adfert Eulogius ap. Phot. 230 p. 272[1] 31
VIII = Cyrill. apol. adu. Orient. 53; florileg. Eutychis 9; Tim. arm. p. 2. 68 syr. f. 1[b]. 42[b]
VIIII florileg. R I 9 [= Timoth. arm. p. 105]
X Timoth. arm. p. 105

V, M [usque ad 6], S, D [= mn], ARΛ[tcu] (A75)

1 γενομένου om. AΛ[tc] A75 πρὸσ προσδόκιον RΛ[tcu] πρὸσ δόκιον VMSDA Eulog. 2 κηρύσσεται δὲ] κήρυσσε τάσδε VM 4 τέλειοσ ἄνθρωποσ A Eulog. 5 τὸν ἄνθρωπον DA 6 τοῦ θεοῦ A Eulog. ἐν οὐνῶ μονογενὴσ R Eulog. Λ[u] θεός om. A cf. A75 7—p. 42, 16 om. M 7 φήλικοσ R φίληκοσ VA φηλίκου S φίλικοσ D Ῥώμης om. AR καὶ μάρτυρος om. SR 8 τῆς om. VSR 9 δὲ om. Λ[c] τῆσ πίστεωσ V 10 τὸν[1] ARA75 om. VSD τῆσ ἁγίασ R Tim. p. 68 om. SD 10/11 ὁ υἱόσ τοῦ θεοῦ ἀίδιοσ λόγοσ VΛ[c] ὁ τοῦ θεοῦ υἱὸσ V[mg] 12 οὐδὲ — αὐτόν om. S 14 ἁγιωτάτου γενομένου Λ[cu] τῆς om. ARA75 ἀλεξανδρέων V 16 τότε] τε R ἀποστήτωσαν S 17 ἀποτεκεῖν A ζῶν om. R 18 ἄλλοσ S ἡμῖν συνομιλεῖν RAA75 flor. συνουιλεῖν ἡμῖν VD συνομιλεῖν S 19 τὸ σῶμα τὸ R 20 μὲν φαινόμενοσ V 21 δουλείαν RAA75 Λ[tcu] flor. δουλείας Timoth. τοῦ δούλου VSD τῶν πάντων D πάντων A 23 ἐκ τῆς om. Λ[u] ἕκτης om. VΛ[tc] 24 Οἷα] Διὰ D corr. n οἱ A οἱ om. A ὕλαισ μόνον SD ἐμφαίνουσι A 26 ἀποδεικνύουσι SRA75 27 ἀριστοτέχνασ R ἀριστοτέχνησ VSDA 28 οἵασ V οὐρανίου om. Λ[t] ἷκται A

ἐν πηλῶι τὸ μέγα τῆς ἑαυτοῦ δείκνυσι τέχνης, τὸν ἐκ πηλοῦ πλασθέντα διορθούμενος ἄν-
θρωπον, αὐτὸς ἐκ παρθένου καινοπρεπῶς προιὼν ἄνθρωπος, τῶι μὲν τρόπωι τῆς γενέσεως
Hebr. 4, 15 διαλλάττων, τὴν δὲ κατὰ πάντα πρὸς ἡμᾶς χωρὶς ἁμαρτίας οὐκ ἐκφεύγειν κρίνας ὁμοίωσιν,
τικτόμενος σπαργανούμενος τιθηνούμενος βρέφος ἐν φάτνηι κείμενος, τῆς φύσεως ἡμῶν
τὴν ἀσθένειαν ἐκδεχόμενος διὰ τὰς προλαβούσας αἰτίας. ἀλλ᾽ ἔτι βρέφος ὤν, ὁμοῦ καὶ
Mt. 2, 8. 12 τὸν ἐχθρὸν καὶ τὴν τούτου θορυβεῖ φάλαγγα, μάγους ἕλκων ἐπὶ μετάνοιαν καὶ παρασκευά-
ζων τοῦ ἀποστείλαντος αὐτοὺς περιφρονεῖν βασιλέως.

Κυπριανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ ἐλεημοσύνης, ἑρμηνεία

[XI] Πολλαὶ καὶ μέγισται τυγχάνουσιν, ἀγαπητοὶ ἀδελφοί, αἱ θεῖαι εὐεργεσίαι ἀφ᾽ ὧν τὴν
de op. et elemos. 1 ἡμετέραν σωτηρίαν ἡ τοῦ θεοῦ πατρὸς καὶ ⟨Χριστοῦ⟩ δαψιλὴς καὶ πλουσία φιλανθρωπία
L III 514 εἰργάσατο καὶ ἀεὶ ἐργάζεται, διὸ φυλάξαι ἡμᾶς καὶ ζωοποιῆσαι ὁ πατὴρ τὸν υἱὸν ἔπεμψεν,
ἵνα ἡμᾶς ἀνακαινίσηι, καὶ πεμφθεὶς ὁ υἱὸς ἠθέλησεν υἱὸς ἀνθρώπου γενέσθαι, ὅπως ἡμᾶς
υἱοὺς θεοῦ καταστήσηι. ἐταπείνωσεν τοίνυν ἑαυτόν, ἵνα τὸν λαὸν τὸν ἀπερριμμένον
ἀνακτήσηται· τετραυμάτισται, ἵνα τὰ ἡμέτερα τραύματα θεραπεύσηι· ἐδούλευσεν, ὅπως ἐκ
δουλείας εἰς ἐλευθερίαν τοὺς δουλεύοντας ἀγάγηι· θάνατον ὑπέστη, ἵνα τοῖς θνητοῖς τὴν
ἀθανασίαν ἀποδῶι.

Ἀμβροσίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Μεδιολάνων, ἑρμηνεία

[XII] Εἰ ἐμοὶ οὐ πιστεύουσιν, πιστευσάτωσαν τῶι ἀποστόλωι λέγοντι· ὅτε δὲ ἦλθεν τὸ
de fide 1, 94 Gal. 4, 4 πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ
γυναικός, γενόμενον ὑπὸ νόμον. τὸν υἱόν, φησίν, αὐτοῦ, οὐχ ἕνα ἐκ πολλῶν·
οὐ κοινόν, ἀλλ᾽ ἑαυτοῦ τῆς ἀιδίου γεννήσεως τὴν ἰδιότητα ἐσήμανεν. τοῦτον μετὰ ταῦτα
γενόμενον ἐκ γυναικὸς κατασκευάζει, ὅπως τὸ γενέσθαι οὐ τῆι θεότητι, ἀλλὰ τῶι
προσληφθέντι σώματι περιγράψηι, γενόμενον ἐκ γυναικὸς διὰ τῆς προσληφθείσης
σαρκός, γενόμενον ὑπὸ νόμον διὰ τῆς τοῦ νόμου φυλακῆς. ἡ γὰρ θειοτάτη αὐτοῦ
γέννησις πρὸ τοῦ νόμου, αὕτη μετὰ τὸν νόμον.

Τοῦ αὐτοῦ

[XIII] Σιωπησάτωσαν τοίνυν αἱ ἀπὸ τῶν λόγων μάταιαι ζητήσεις, ὅτι ἡ τοῦ θεοῦ βασιλεία,
de fide 2, 77-78 καθὼς γέγραπται„ οὐκ ἐν πειθοῖς λόγων ἀνθρωπίνων ἐστίν, ἀλλ᾽ ἐν ἀποδείξει δυνάμεως.
1 Cor. 2, 4 φυλάξωμεν τὴν ἀνάγνωσιν τῆς θεότητος καὶ τῆς σαρκός. εἷς ἐν ἑκατέραι λαλεῖ ὁ τοῦ
M IIII 1192

XI Tim. arm. p. 18. 117 syr. f. 3$^{a}$; ipsa Cypriani uerba exhibet Λ$^{c}$ cf. A75
XII. XIII ipsa Ambrosii uerba exhibent Λ$^{tcu}$
29—p. 43, 4 flor. R II 16 φυλάξωμεν — διελέγετο, p. 43, 1—4 Tim. arm. p. 18 syr. f. 7 . 31$^{b}$

V, [M inde a 17 usque ad 25], P [= hk inde a 2 καινοπρεπῶς], S, D [= mn], ARΛ$^{tcu}$ (A75)
2 καινοπρεπῆσ PΛ$^{c}$ cf. A75 τὸ μεν τρόπον R γεννήσεωσ A 3 ἐκφεύγειν ARA75 ἐκφυγεῖν VPSD 4 τιθηνούμενοσ om. VPA 5 ἁμαρτίασ καὶ αἰτίασ V 6 ἄγων A 7 αὐτοὺς om. R καταφρονεῖν SD 8 κυπριανοῦ τοῦ ἁγιωτάτου VPA75 κυπριανοῦ ἁγίου S τοῦ ἁγίου κυπριανοῦ DA κυπριανοῦ R ἑρμηνεία SDARΛ$^{cu}$A75 Tim. βιβλίου P λόγου V 9 μέγιστοι SD ἀδελφοί om. Λ$^{t}$ 10 πατρὸς καὶ [καὶ om. Tim. syr.] Χριστοῦ Λ$^{tu}$ Tim. syr. πρσ καὶ VARA75 καὶ πρσ SD πρσ P Tim. arm. 11 ἐργάσεται A Tim. ἡμᾶσ καὶ ζωοποιῆσαι ARΛ$^{tu}$A75 Tim. καὶ ζωοποιῆσαι ἡμᾶσ VPSD 12 ὁ om. A 15 δουλεύοντασ VPSΛ$^{t}$ A75 δουλεύοντασ αὐτῶ ARΛ$^{u}$ Tim. arm. αὐτῶ δουλεύοντασ D τοὺσ θνητοὺσ R τὴν om. S 15/16 τὴν ἀθανασίαν τοῖσ θνητοῖσ VP 17 τοῦ γενομένου A om. MPΛ$^{tcu}$ cf. A75 μεδιολάνων PAA75 τῆσ [om. R] μεδιολάνου SR τῆσ μεδιολάνων VMD 18 πιστεύετε A πιστεύσωσιν RA75 πιστεύσουσι VMPSD πιστεύετε A 21 τὴν ἰδιότητα om. R 23 ἐπιγράψη VMP 24 σαρκός om. MP 25 αὕτη δὲ SD 27—p. 43, 8 om. M 27 σιωπήσωσι AA75 σιωπήσουσι VPSDR 28 πειθοῖ V 29 ἀνάγνωσιν VPSRA75 flor. διαφορὰν DAA75corr *distinctionem* Ambr. ἑκατέρα PDAΛ$^{u}$ ἑκατέρω VSRΛ$^{tc}$ flor. cf. A75; ἑκατέρωι a Seuero falsatum esse contendit Eulogius apud Phot. 230 p. 271$^{b}$ 13 sq.

θεοῦ υἱός, ὅτι ἐν αὐτῶι ἡ ἑκατέρα φύσις ἐστίν. ὁ αὐτὸς λαλεῖ καὶ οὐκ ἐν ἑνὶ πάντοτε διαλέγεται τρόπωι. πρόσχες ἐν αὐτῶι νυνὶ μὲν δόξαν θεοῦ, νυνὶ δὲ ἀνθρώπου πάθη, ὅτι ὡς θεὸς διδάσκει τὰ θεῖα, ἐπεὶ λόγος ἐστίν, ὡς δὲ ἄνθρωπος λέγει τὰ ἀνθρώπινα, ἐπεὶ
ἐν τῆι ἐμῆι οὐσίαι διελέγετο. οὗτός ἐστιν ὁ ἄρτος ὁ ζῶν, ὃς κατέβη ἐξ οὐρανοῦ· οὗτος Ioh. 6, 51. 58
ὁ ἄρτος ἡ σάρξ ἐστιν, καθὼς αὐτὸς ἔφη· οὗτος ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ Ioh. 6, 54
μού ἐστιν. οὗτός ἐστιν ὁ καταβάς· οὗτός ἐστιν ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἔπεμψεν εἰς τὸν κόσμον. οὐδὲ αὐτὸ τὸ γράμμα ἡμᾶς διδάσκει τοῦ ἁγιασμοῦ μὴ τὴν θεότητα χρείαν ἐσχηκέναι, ἀλλὰ τὴν σάρκα.

Γρηγορίου τοῦ μεγάλου ἁγιωτάτου ἐπισκόπου [γενομένου] Ναζιανζοῦ

[XIIII] Μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι μηδὲ ἀπατάσθωσαν, ἄνθρωπον ἄνουν δεχόμενοι τὸν ep. 101
κυριακόν, ὡς αὐτοὶ λέγουσιν, μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ θεόν. οὐδὲ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν, πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ θεὸν καὶ υἱὸν μόνον καὶ προαιώνιον, ἀμιγῆ σώματος καὶ τῶν ὅσα σώματος· ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, παθητὸν σαρκί, ἀπαθῆ θεότητι· περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι· τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλωι ἀνθρώπωι τῶι αὐτῶι καὶ θεῶι ὅλος ἄνθρωπος ἀναπλασθῆι πεσὼν ὑπὸ τὴν ἁμαρτίαν.

Εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος. L III 515

Εἴ τις ὡς διὰ σωλῆνος τῆς παρθένου δραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῆι διαπεπλάσθαι [λέγει] θεικῶς ἅμα καὶ ἀνθρωπικῶς, θεικῶς μὲν ὅτι χωρὶς ἀνδρός, ἀνθρωπικῶς δὲ ὅτι νόμωι κυήσεως, ἀνάθεμα ἔστω.

Εἴ τις διαπεπλάσθαι λέγει τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι θεόν, κατάκριτος· οὐ γὰρ γέννησις θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως.

Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρός, δεύτερον δὲ τὸν ἐκ
τῆς μητρός, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς Eph. 1, 5
ὀρθῶς πιστεύουσιν. φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ
οὐ δύο οὐδὲ θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς 2 Cor. 4, 16
τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσεν. καί, εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴπερ μὴ ταυτὸν τὸ ἀόρατον τῶι ὁρατῶι καὶ τὸ ἄχρονον τῶι ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο. τὰ γὰρ ἀμφότερα ἓν τῆι συγκράσει, θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος ἢ ὅπως ἄν τις ὀνομάσειεν. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ
τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῆι θεότητι. M IIII 1193

---

15/16 flor. R II 10 παθητόν — ἀχώρητον
22—23 Timotheus arm. p. 60
24—30 florilegium R II 15 εἴ τις — καὶ ἄλλος

---

V, M [inde a 8], P [= hk], S, D [= mn], ARΛ$^{tcu}$ (A75)

1 postulatur (εἰ) καὶ cf. Λ$^{tcu}$ Ambr. οὐκ' ἐνὶ S οὐχ ἐνὶ DA Tim. 1/2 διαλέγεται πάντοτε R 2 πάθη ἀνου P 3 λαλεῖ A 5 ἔφησεν A 6 οὗτός — ἐστιν om. P 7 οὐδὲ] *nec* Λ$^{tcu}$, falsa lectio pro *hæc* ἡμᾶσ τὸ γράμμα A διδάξει SD μὴ om. V 9 ἁγιωτάτου — γενομένου VMAA75 ἁγιωτάτου γενομένου ἐπισκόπου P γενομένου ἁγιωτάτου ἐπισκόπου SD ἁγιωτάτου ἐπισκόπου RΛ$^{tcu}$ ναζιαζοῦ mR 12 μὲν οὖν οὐκ AR 13 μόνον προαιώνιον V 14 σωτηρίας] σαρκὸσ D 15 πνεύματι] *diuinitate* Λ$^{t}$, cf. A75 16 νοούμενον] ἀόρατον VMP 16/17 *in toto* Λ$^{tu}$ cf. A75 18 ἐκτόσ V ἔσται R *sit* Λ$^{u}$ uariæ lectiones apud Gregorium 19 ἀναπεπλάσθαι SD λέγει MPA75Λ$^{c}$ λέγοι V om. SDARΛ$^{tu}$ cf. A75 20 ἀνθρωπίνωσ MA ὅτε S ἀνθρωπίνωσ A 21 ἀνάθεμα ἔστω VMPSDARA75 Λ$^{tu}$ *similiter anathema sit* Λ$^{c}$ ὁμοίως ἄθεος Gregorius edd. cf. A75 22 ἄνθρωπον] ναόν A 24 τὸν$^{1}$ om. VMP 25 μητρός] μαρίασ RΛ$^{tcu}$ flor. καὶ$^{2}$ om. Λ$^{t}$ A75 26 γὰρ om. S 27 οὐδὲ θεοὶ om. R γὰρ om. P εἰ om. R 29 ὁρατὸν τῶ ἀοράτω D 30 δὲ om. A τῆ εἰσ ἄκρον ἑνώσει ἐν τῆ συγκράσει RΛ$^{tu}$ 31 ὀνομάση SD 33 ἄλλοσ δὲ καὶ ἄλλο R ἄλλο δὲ VMP

Εἴ τις ὡς ἐν προφήτηι λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαι και συναναπεπλάσθαι, εἴη κενος τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

Εἴ τις οὐ προσκυνεῖ τον ἐσταυρωμένον, ἀνάθεμα ἔστω καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

Εἴ τις ἐξ ἔργων τετελειωμένον ἢ μετά το βάπτισμα ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγει, καθάπερ Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. το γὰρ ἠργμένον ἢ προκόπτον ἢ τελειούμενον οὐ θεος, κἂν διά τὴν κατὰ μικρὸν αὔξησιν ούτω λέγηται.

Βασιλείου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Καισαρείας τῆς πρώτης Καππαδοκίας

[XV] Οὐ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ καὶ τὰ μεγέθη τῶν πελαγῶν καὶ τὰ ἐν ὕδασι διαι-
de spir. s. 18 τώμενα καὶ τὰ χερσαῖα τῶν ζώιων καὶ φυτὰ καὶ ἀστέρες καὶ ἀὴρ καὶ ὧραι καὶ ἡ ποικίλη
τοῦ παντος διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν ὅσον το δυνηθῆναι τὸν θεὸν τον ἀχώρητον ἀπαθῶς διά σαρκος συμπλακῆναι τῶι θανάτωι, ἵνα ἡμῖν τῶι ἰδίωι πάθει τὴν ἀπάθειαν χαρίσηται.

Γρηγορίου τοῦ ἁγιωτάτου ἐπισκόπου Νύσης

[XVI] Τοῦτο γὰρ φρονείσθω, φησίν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ· ὃς ἐν
or 1 de beatit. [PG p. 1201] μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ'
Phil 2, 5-7 ἑαυτον ἐκένωσεν μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δού-
L III 518 λου μορφῆς, τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὅλων ἢ τὸ εἰς κοινωνίαν τῆς
Apoc. 19, 16 πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν
κυριευόντων τὴν τῆς δουλείας μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς
Ies 40, 12 δυναστεύουσιν γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίωι κατάγεται· ὁ τοῦ παντὸς περι-
Lc. 2, 7 δεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῶι καταλύματι, ἀλλ' ἐν φάτνηι τῶν ἀλόγων παραρρίπτεται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας το μέτρον· ἡ ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς ζωῆς

---

XV Cyrill apol adu. Orient 114; Tim. arm. p. 21 143. 192 syr f 8a

XVI Cyrill. ibid. 113; Tim. arm. p 25. 83

p 45, 3 Hic finem faciunt capitulorum ex patribus excerptorum S 31 D 32 R codex Casinensis Collectionis C; adnotatur in Λt *haec testimonia quae secuntur, in aliis exemplaribus non inuenitur.* neque Atticus uel Amphilochius enumerantur in Vincentii Lerinensis Commonitorio [30] bina Attici et Amphilochii testimonia [XVII—XX] adduntur hoc loco in VPAΛtu, initio supplementi appendici inserti in S 99 D 100; singula Attici et Amphilochii adiciuntur in codice Vaticano Collectionis C, omnia quattuor desunt in M. in V [55—59] MPSD secuntur concilii decretum de symbolo Nicaeno [A 74, 3] et actio de Charisio, quae a prima sessione aliena sunt. uel hinc euincitur illa quattuor Attici et Amphilochii testimonia non in prima sessione lecta esse, sed ad ea gesta pertinere, quæ d 22 m Iul. 431 habita esse dicuntur [A 73—79 = Coll Palatina 38 et Coll TC 46], et ex illis in hæc gesta esse translata hoc confirmatur testimonio Rustici in dialogo contra Acephalos p. 74b [PL 67, 1249]: *suscipe de Ephesina synodo lectionem quam super addiderunt postquam uenerunt uicarii sanctissimi Caelestini papae Romani, ex iis demonstrantes quomodo debeat CCCXVIII sanctorum patrum symbolum declarari ex testimonio sanctae memoriae Attici*

---

VM, P [= hk], S, D [= mn], ARΛtcu(A75)

2 συναναπεπλάσθαι] συνάπτεσθαι P Greg. edd. 6 ἐξιοῦσθαι S καθάπερ SDARΛtcu καθάπερ οὗσ VMPA75 παρεγγράπτουσ οὗσ SD 9 γενομένου om. RΛtc cf. A75 10 μυρία V 11 φυτῶν S καὶ ὧραι om. P 13 συμπλασθῆναι M 15 τοῦ om. R νύσσησ VPSDA 16 γὰρ om AR Tim. φησίν om. DA 18 τοῦ om MP 19 τοῦ om. A ὅλων VAΛtcu Tim ὄντων MPSDR ἐν κοινωνία P 20 πτωχείασ A Tim. καὶ φύσεωσ A ἑκουσίως om. V ὁ κυριοσ VMRA75 21 τοῦ δούλου VSD cf A75 25 ἡμῶν τῆσ πτωχείασ R 26 ὁ — ἄγεται om R

τῶν ὄντων κύριος ἐπὶ τῆι ψήφωι τοῦ δικάζοντος γίνεται· ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. πρὸς τοῦτό σοι, φησί, τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης βλεπέτω τὸ μέτρον.

**60** Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἔχομεν δε [μετὰ χεῖρας] καὶ βιβλία τῶν βλασφημιῶν τοῦ εὐλαβεστάτου Νεστορίου, ἀφ᾽ ὧν ἑνὸς ἐξελεξάμεθα κεφάλαια, ἅπερ, εἰ παρίσταται [τῆι ἁγίαι ταύτηι συνόδωι], ἀναγνωσόμεθα. L III 519

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τοῖς πραττομένοις.

[I] Ἐκ τοῦ βιβλίου αὐτοῦ Νεστορίου τετράδος ιζ εἰς δόγμα M IIII 1197

Ὅταν οὖν ἡ θεία γραφὴ μέλλῃ λέγειν ἢ γέννησιν τοῦ Χριστοῦ τὴν ἐκ τῆς μακαρίας παρθένου ἢ θάνατον, οὐδαμοῦ φαίνεται τιθεῖσα τὸ θεός, ἀλλ᾽ ἢ Χριστός ἢ υἱός ἢ κύριος, ἐπειδὴ ταῦτα τὰ τρία τῶν φύσεών ἐστι σημαντικὰ τῶν δύο, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης, ποτὲ δὲ ταύτης κἀκείνης. οἷόν τι λέγω, ὅταν τὴν ἐκ παρθένου γέννησιν ἡμῖν ἡ γραφὴ διηγῆται, τί λέγει; ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. οὐκ εἶπεν· ἐξαπέστειλεν ὁ θεὸς τὸν θεὸν λόγον, ἀλλὰ λαμβάνει τὸ ὄνομα τὸ μηνῦον τὰς φύσεις τὰς δύο. ἐπειδὴ γὰρ ὁ υἱὸς ἄνθρωπός ἐστιν καὶ θεός, λέγει· ἐξαπέστειλεν τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, ἵνα ὅταν ἀκούσῃς τὸ γενόμενον ἐκ γυναικός, εἶτα ἴδῃς τὸ ὄνομα προκείμενον τὸ μηνῦον τὰς φύσεις τὰς δύο, τὴν γέννησιν τὴν ἐκ τῆς μακαρίας παρθένου υἱοῦ μὲν καλῇς· υἱὸν γὰρ ἐγέννησεν θεοῦ καὶ ἡ Χριστοτόκος παρθένος, ἀλλ᾽ ἐπειδήπερ ὁ υἱὸς τοῦ θεοῦ διπλοῦς ἐστι κατὰ τὰς φύσεις, οὐκ ἐγέννησεν μὲν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ᾽ ἐγέννησεν τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν υἱὸς διὰ τὸν συνημμένον υἱόν.

(Loofs, Nestoriana p. 273, 18-274, 17; Gal. 4, 4; Gal. 4, 4)

[II] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κα

Βλέπε τὸ συμβαῖνον, αἱρετικέ. οὐ φθονῶ τῆς φωνῆς τῆι Χριστοτόκωι παρθένωι, ἀλλ᾽ οἶδα σεβασμίαν τὴν δεξαμένην θεόν, δι᾽ ἧς προῆλθεν ὁ τῶν ὅλων δεσπότης, δι᾽ ἧς Loofs p. 277, 19-278, 2

9—p. 52, 5 repetuntur in gestis d. 21 m. Iul. [A 78]
I = Cyrill. adu. Nest. 2, 2. 15—21 adferuntur in gestis Concilii quinti L V 547 = M VIIII 344
II. III cf. Cyrill. adu. Nest. 1, 2. ep. 128, 9

VM, P [= hk], S, D [= mn], A, W [inde a 9], R [præter 4—9], $\Lambda^{tcu}$
ξ V νζ P λβ S λγ᾽ D

1 ὅλων RΛ$^{tc}$ cf. A75 ἄγεται V τῆς om. R 2 οὐκ ἀπωθεῖται τὰσ τῶν δημίων SD σοι om. MPS 2/3 τῆσ ταπεινοφροσύνησ τὸ ὑπόδειγμα DA 4 καὶ om. S πριμμικήριοσ VM$^{corr}$ PSD δὲ om. SD 4/5 μ. ⁊ χεῖρασ VMP om. SDAΛ$^{tcu}$ 5 τοῦ εὐλαβεστάτου SΛ$^{tcu}$ τοῦ ἀσεβεστάτου D om. VMPA ἑνὸσ SDAΛ$^{tcu}$ ἑνὸσ βιβλίου VMP 6 τῆ — συνόδω VMP om. SDAΛ$^{tcu}$ 7 ἀναγινωσκέσθωσαν καὶ ἐμφερέσθωσαν VMP 7/8 τοῖσ πραττομένοισ SDAΛ$^{tcu}$ τῆ πίστει τῶν [τῶν χριστιανῶσ V] πεπραγμένων VMP in fine add. πάντεσ οἱ ἐπίσκοποι εἶπον πάντεσ τὰ αὐτὰ λέγομεν ἀναγινωσκέσθωσαν καὶ ἐμφερέσθωσαν τῆ πίστει τῶν πεπραγμένων [ἀναγινωσκέσθωσαν — πεπραγμένων om. V] VP ὁμοίωσ καὶ πάντεσ εἶπον SD 9 αὐτοῦ SDAWA$^{78}$ τοῦ αὐτοῦ Λ$^{tcu}$ τοῦ VM om. P τετράδια SD εἰσ δόγμα MPAΛ$^{tc}$A$^{78}$ om. V εἰσ δόγμα καὶ ἀνεγνώσθη οὕτωσ SDW uaria lectio in Λ$^{u}$ [A$^{78}$] 10 inscr. χρήσεισ νεστορίου ἐπιλήμψιμοι R μέλλει DR, corr. R τὴν om. R τῆσ μακαρίασ SDRΛ$^{u}$A$^{78}$ τῆσ μαρίασ MPAW μαρίασ τῆσ V *Maria uirgine* Λ$^{tc}$ cf. A$^{78}$ 11 οὐδαμῶσ S 12 ἐστὶ SDWRA$^{78}$ εἰσὶ VMPA τῶν δύο σημαντικὰ VMP ἐκείνης] κακείνησ R 13/14 ὅταν — λέγει om. P 13 τὴν om. R ἡμῖν om. A 14 διεξηγῆται VM τί AΛ$^{tcu}$A$^{78}$ om. VMPSDWR 14/15 ὁ θσ̄ ἐξαπέστειλε W 15 φύσεισ τὰσ δύο PAWRA$^{78}$ δύο φύσεισ VMSD 16 ἀνου R cf. A$^{78}$ ἐξαπέστειλεν VMPAWRA$^{78}$ ἐξαπέστειλεν ὁ θσ̄ SDΛ$^{tcu}$ 16/17 αὐτοῦ — γενόμενον om. W 16 γεννώμενον VM 17 γεννώμενον VM τὸ ὄνομα τὸ VMAW 18 προκείμενον VMSDWRΛ$^{tcu}$ προσκείμενον PA cf. A$^{78}$ τὰσ δύο φύσεισ D ἵνα τὴν MSDWRΛ$^{tcu}$ cf. A$^{78}$ τὴν ἐκ om. W ἁγίασ VMP *Maria* Λ$^{u}$ 19 υἱοῦ VMPARΛ$^{tcu}$ υἱὸν SDW cf. A$^{78}$ ἡ om. VM 20 τὸν om. W 21 ἥτις — υἱόν om. A 22 ὁμοίως τοῦ αὐτοῦ] καὶ ἐν ἄλλω R 24 σεβασμίαν] βλασφημίαν M δεσπότησ SDAWRΛ$^{tcu}$A$^{78}$ θεὸσ VMP

Mal. 4, 2 ἀνέλαμψεν τῆς δικαιοσύνης ὁ ἥλιος. πάλιν ὑποπτεύω τὸν κρότον· πῶς τὸ προῆλθεν
ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ προῆλθεν ἀντὶ τοῦ ἐγεννήθη· οὐ γὰρ οὕτω ταχέως ἐπι-
λανθάνομαι τῶν ἰδίων. τὸ προελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς
θείας ἐδιδάχθην γραφῆς, τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

Loofs p. [III] 278, 5-13 Καὶ μεθ' ἕτερα· Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου
λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν υἱὸν κύριον. ταῦτα πάντες ὁμολογῶμεν· ἃ γὰρ
L III 522 ἐδίδαξεν ἡ θεία γραφή, ἄθλιος ὁ μὴ εὐθὺς δεχόμενος. ἐγερθεὶς παράλαβε τὸ παι-
Mt. 2, 13 δίον καὶ τὴν μητέρα αὐτοῦ. αὕτη τῶν ἀγγέλων ἡ φωνή· τάχα δὲ μᾶλλον σοῦ
τὰ κατὰ τὴν γέννησιν ᾔδεσαν οἱ ἀρχάγγελοι. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ
τὴν μητέρα αὐτοῦ, οὐκ εἶπεν· ἐγερθεὶς παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ.

[IIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος $\overline{κδ}$

Loofs p. 285, 24-287, 21 Ὅπερ οὖν ἐλέγομεν μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου·
Mt. 1, 20 τὸ γὰρ ἐν αὐτῆι γεννηθέν, εἴτε διὰ τοῦ ἑνὸς $\bar{ν}$ εἴτε διὰ τῶν δύο, τῶι νοήματι οὐδὲν
λυμαίνεται (τὸ γὰρ ἐν αὐτῆι τεχθὲν ἐκ πνεύματός ἐστιν ἁγίου), ἐὰν ⟨δὲ⟩ εἴπωμεν ὅτι ὁ θεὸς
M IIII 1200 λόγος ἐγεννήθη ἐν τῆι γαστρί. ἄλλο γάρ ἐστι τὸ συνεῖναι τῶι γεννωμένωι καὶ ἄλλο τὸ
γεννᾶσθαι. τὸ γὰρ ἐν αὐτῆι, φησί, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου,
τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἔκτισε τὸ ἐν αὐτῆι. εἶδον οὖν οἱ πατέρες, ὡς ἐπιστή-
μονες τῶν θείων γραφῶν, ὅτι ἐὰν ἐπὶ τοῦ σαρκωθέντος θῶμεν τὸ γεννηθέντα, εὑρίσκεται
ἢ υἱὸς τοῦ πνεύματος ὁ θεὸς λόγος ἢ δύο πατέρας ἔχων, ἢ διὰ τοῦ ἑνὸς ν εὑρεθήσεται
ὁ θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. φεύγοντες οὖν τὴν τῆς γεννήσεως λέξιν,
ἔθηκαν τὸν κατελθόντα δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ
σαρκωθέντα. τί ἐστι σαρκωθέντα; οὐ τραπέντα ἀπὸ θεότητος εἰς σάρκα· τῶι σαρκω-
θέντα ἐκ πνεύματος ἁγίου ἠκολούθησαν τῶι εὐαγγελιστῆι. καὶ γὰρ ὁ εὐαγγελιστὴς ἐλθὼν
εἰς τὴν ἐνανθρώπησιν ἔφυγε γέννησιν εἰπεῖν ἐπὶ τοῦ λόγου καὶ τέθεικε σάρκωσιν. ποῦ;
Ioh. 1, 14 ἄκουσον· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ εἶπεν· ὁ λόγος διὰ σαρκὸς ἐγεννήθη.
ὅπου μὲν γὰρ μνημονεύουσιν ἢ οἱ ἀπόστολοι ἢ οἱ εὐαγγελισταὶ τοῦ υἱοῦ, τιθέασιν ὅτι ἐγεν-
νήθη ἐκ γυναικός. πρόσεχε τῶι λεγομένωι, παρακαλῶ. ὅπου λέγουσι τὸ ὄνομα τοῦ
υἱοῦ καὶ ὅτι ἐγεννήθη ἐκ γυναικός, τιθέασι τὸ ἐγεννήθη· ὅπου δὲ μνημονεύουσι τοῦ λόγου,
οὐδεὶς αὐτῶν ἐτόλμησεν εἰπεῖν γέννησιν διὰ τῆς ἀνθρωπότητος. ἄκουε· ὁ μακάριος εὐ-
αγγελιστὴς Ἰωάννης ἐλθὼν εἰς τὸν λόγον καὶ τὴν ἐνανθρώπησιν τὴν αὐτοῦ, ἄκουσον οἷά
Ioh. 1, 14 φησιν· ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν ἀνέλαβε σάρκα, καὶ ἐσκήνωσεν ἐν
ἡμῖν, τουτέστιν τὴν ἡμετέραν ἐνεδύσατο φύσιν καὶ ἐνῴκησεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα
τὴν δόξαν αὐτοῦ, τοῦ υἱοῦ. οὐκ εἶπεν· ἐθεασάμεθα τὴν γέννησιν τοῦ λόγου.

---

23 ἠκολούθησαν — 31 ἐγένετο = Cyrill. adu. Nest. 1, 8

---

VM, P [= hk], S, D [= mn], AWR$\Lambda^{tcu}$

3 θεὸν λόγον VMP 4 οὐδαμῶσ SD ἐδιδάχθη V 5 παρθένου om. V$\Lambda^{t}$ 6 γεγενῆσθαι SA $\overline{υν}$ $\overline{κν}$ MA$\Lambda^{cu}$A$^{78}$ $\bar{υ}$ν καὶ $\bar{κ}$ν VPSDW $\bar{κ}$ν R$\Lambda^{t}$ ὁμολογῶμεν MSDAW cf. A$^{78}$ ὁμολογοῦμεν VPR$\Lambda^{tcu}$ 7 δεχόμενοσ εὐθὺσ S 8—10 αὕτη — αὐτοῦ om. VP 8 σοῦ μᾶλλον A 9 τὰ om. W 11—33 om. R 11 τετράδοσ $\bar{κα}$ VP $\bar{κα}$ τετράδοσ M cf. A$^{78}$ 12 οὖν om. VMP 13 νυ MPA υἱοῦ SD, in $\bar{ν}$ corr. m ὀνόματι D 14 μολύνεται A τεχθὲν] γεννηθὲν W δὲ addidi, cf. A$^{78}$ 15 γαστρί A$\Lambda^{t}$A$^{78}$ σαρκὶ VMPSDW$\Lambda^{cu}$ ἐστι om. V cf. A$^{78}$ 16 γεννηθὲν φησίν SD γενηθέν $\Lambda^{c}$ 17 τὸ$^{2}$ om. M τὸ ἐν] τὸν ἐν P οὖν om. P 18 ἁγίων W τὸν σαρκωθέντα VMPS τὸ ΛA$^{78}$ τὸν VMPSDW 19/20 ἢ δύο — λόγος om. SW 19 τοῦ om. VM *sancti spiritus* $\Lambda^{tc}$ δι' ἑνὸσ V 19 νῦ A νῦν D, corr. m 21 ἔθηκαν om. MP καὶ$^{2}$ om. DA 22 τῷ VDA$^{78}$ τὸ A τὸν MPSW 23 ἁγίου εἰπεῖν D 24 ἐπὶ τοῦ λόγου εἰπεῖν W 24/25 καὶ — ἄκουσον om. $\Lambda^{tcu}$ 24 τέθηκε P 25 εἶπεν ὅτι DA 26 γὰρ om. P ἢ$^{1}$ VMP$\Lambda^{u}$A$^{78}$ om. SDW$\Lambda^{tc}$ τοῦ υἱοῦ] τούτων A τοῦ $\overline{θυ}$ W 27 ὅπου SDAA$^{78}$ ὅπου μὲν VMP 29/30 ἰωάννησ ὁ εὐαγγελιστὴσ VMP 30 καὶ εἰσ A τὴν αὐτοῦ SDAWA$^{78}$ αὐτοῦ VMP 31 ἔλαβε SDW 32 τὴν om. VMP καὶ ἐνῴκησεν ἐν ἡμῖν om. S καὶ$^{1}$ om. MPA$^{78}$ ἐσκήνωσεν VW 33 αὐτοῦ om. A

[V] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε̄ εἰς δόγμα

Οὕτω καὶ τὸν κατὰ σάρκα Χριστὸν ἐκ τῆς πρὸς τὸν θεὸν λόγον συναφείας θεὸν Loofs p. 248 10-249, 1
ὀνομάζομεν, τὸ φαινόμενον εἰδότες ὡς ἄνθρωπον. ἄκουσον ἀμφότερα τοῦ Παύλου κηρύττοντος· ἐξ Ἰουδαίων, φησίν, ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός. ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον καὶ τότε τῆι τοῦ θεοῦ συναφείαι θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς ἀνθρωπολάτρην τὸν Χριστιανισμὸν ὑποπτεύηι.

[VI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ̄ Loofs p. 289, 6-15

Ἀλλ' ὥσπερ ἐλέγομεν θεὸν τὸν πάντων δημιουργὸν καὶ θεὸν τὸν Μωυσέα (θεὸν γάρ L III 523
φησιν, τέθεικά σε τοῦ Φαραώ) καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ θεοῦ (υἱός γάρ φησι, πρω- Exod. 7, 1 Exod. 4, 22
τότοκός μου Ἰσραήλ) καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαούλ (οὐ μὴ γάρ φησιν, 1 Reg. 24, 7
ἐπιβάλω τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς κυρίου ἐστί) καὶ τὸν Κῦρον ὡσαύτως (τάδε Ies. 45, 1
λέγει, φησίν, κύριος τῶι Χριστῶι μου Κύρωι) καὶ τὸν Βαβυλώνιον ἅγιον (ἐγὼ γάρ Ies. 13, 3
φησιν, συντάξω αὐτοῖς· ἡγιασμένοι εἰσὶν καὶ ἐγὼ ἄγω αὐτούς), οὕτω λέγομεν
καὶ τὸν δεσπότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον καὶ Χριστόν· ἀλλ' ἡ μὲν κοινωνία M IIII 1201
τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία.

[VII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε̄

Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ, ὃς ἐν μορφῆι θεοῦ Loofs p. 254, 5-12
ὑπάρχων ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. οὐκ εἶπεν, τοῦτο φρονεί- Phil. 2, 5. 7
σθω ἐν ὑμῖν ὃ καὶ ἐν τῶι θεῶι λόγωι, ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστός, ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικήν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφήν, ἣν ἔλαβεν, καὶ θεὸν ὀνομάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλοῦν.

[VIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιζ̄

Ἵνα ἐν τῶι ὀνόματι Ἰησοῦ, φησί, πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ Loofs, p. 261, 20-262, 6
ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Phil. 2, 10. 11
Ἰησοῦς Χριστός. διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον

V inde a 3 ἄκουσον = Cyrill. adu. Nest. 2, 14
VI = Cyrill. adu. Nest. 2, 4
VII = Coll. Palat. 29, 9 Cyrill. apol. adu. Orient. 23
VIII cf. Cyrill. apol. adu. Orient. 24 et usque ad p. 48, 1 φαινόμενον Cyrill. adu. Nestor. 2, 11. 12. Coll. Palat 21 p. 35, 13—16. 26—p. 48, 1. 2 redeunt in XV; adferuntur ep. 128, 15 et in gestis Concilii quinti [L V 547 = M VIIII 343]

VM, P [hk], S, D [= mn], AWR$\Lambda^{tcu}$

1 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. DAW   εἰς δόγμα om. PR   2 καὶ τὸν om. P τὸν DA$A^{78}$ τὸ VMSRW$\Lambda^{c}$   κατὰ om. M   χ̄σ̄ R   τὸν DAR$A^{78}$ om. VMPSW   3 τὸ VMR$\Lambda^{c}$ $A^{78}$ τὸν PA om. SDW *uisibilem* $\Lambda^{tu}$   τοῦ παύλου ἀμφότερα VMP   3/4 κηρύσσοντοσ SDW   4 φησίν om. VMP$\Lambda^{u}$   ὁ om. A   *Christum* $\Lambda^{t}$ cf. $A^{78}$   5 τὸ] τὸν A cf. $A^{78}$   6 ἀνθρωπολάτρην MA$A^{78}$ ἀνθρωπολατρῆν, ῆν in ras. R   ἀνθρωπολάτριν P *hominis cultricem* [*cultorem* $\Lambda^{u}$] $\Lambda^{tcu}$ ἀνθρωπολατρεῖν SDW ἀνθρωπολατρείαν V   χριστιανὸν A   ὑποπτεύοι D ὑποπτεύσῃ VMPR   7 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. A   8 λέγομεν MA   μωσέα DAW   9 τέθηκά P   τῶ φαραῶν A τὸν] τοῦ V   9/10 πρωτότοκόσ μου ῑη̄λ φησὶ R   10 λέγομεν A   σαμουὴλ SD, corr. S   γὰρ μὴ A φησιν om. A   11 μου τὴν χεῖρα A   ἐπ' αὐτὸν om. VM   κ̄ν̄ nW$\Lambda^{u}$   12 φησίν om. A κύριω W   12/13 καὶ τὸν — αὐτοῖς om. SD   13 καὶ ἡγιασμένοι A   κἀγὼ VM 14 Χριστὸν om. W   καὶ ῡν̄ καὶ θ̄ν̄ SD καὶ θ̄ν̄ ῡν̄ P   15 ἀξία] δύναμισ A   16 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SD   17. 18/19 φρονεῖτε $\Lambda^{tcu}$ cf. $A^{78}$   20 τῆσ τῶν — προσηγορίασ σημαντικὸν SDW   21 μορφὴν δούλου M   ἣν ἔλαβεν AR$\Lambda^{tcu}A^{78}$ ἀναλαβεῖν VMPSDW Coll. Pal.   22 ἀλήπτως om. S   23—p. 48, 2 om. W   23 ὁμοίως τοῦ αὐτοῦ om. R   24 καὶ VMPSDA$\Lambda^{u}$ om. $\Lambda^{tc}A^{78}$ 25 ἐξομολογήσεται R   26 φρονοῦντα V   *indumentum* $\Lambda^{tu}$   τὸ κεκρυμμένον PR τὸν ἀόρατον S

προσκυνῶ τὸν φαινόμενον. Ζομένου τὴν τιμὴν οὐ χωρίζω.

ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωρι-χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν.

[VIIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιζ̄ εἰς δόγμα

Loofs p. 275, 1-11

Ἦν μὲν γὰρ ὁ θεὸς λόγος καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ υἱὸς καὶ θεὸς καὶ συνὼν τῶι πατρί, ἀνέλαβεν δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. ἀλλ' ὢν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν· ἀλλ' ἐπειδήπερ ἐκείνωι συνῆπται τῶι ἐν ἀρχῆι ὄντι υἱῶι τῶι πρὸς αὐτὸν συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι, κατὰ τὸ ἀξίωμα φημὶ τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ.

[X] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε̄ εἰς δόγμα

Loofs p. 249, 1-4

Ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπωι θεόν· σέβωμεν τὸν τῆι θείαι συναφείαι τῶι παντοκράτορι θεῶι συμπροσκυνούμενον ἄνθρωπον.

[XI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ϛ̄

Loofs p. 234, 10-16
Hehr. 2, 17. 18
L III 526

Σκόπει καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον ἵνα ἐλεήμων, φησί, γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἐν ὧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐκοῦν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων· παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός.

[XII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ̄

Loofs p. 292, 1-6

Ἵνα μάθητε, φησίν, ὡς σφοδρά τις τῆς θεότητος ὑπῆρχεν συνάφεια, καὶ ἐν βρέφει τῆς δεσποτικῆς καθορωμένης σαρκός. ἦν γὰρ αὐτὸς καὶ βρέφος καὶ τοῦ βρέφους δεσπότης. ἐπηινέσατε τὴν φωνήν, ἀλλὰ μηδὲ αὐτὴν ἀβασανίστως κροτεῖτε· εἶπον γάρ· ὁ αὐτὸς ἦν βρέφος καὶ τοῦ βρέφους οἰκήτωρ.

---

VIIII = Cyrill. adu. Nestor. 2, 8; 9. 10 ep. 128, 11; adferuntur in gestis Concilii quinti [L V 547 = M VIIII 343]
X = Cyrill. adu. Nestor. 2, 14; ep. 128, 11 cf. apol. adu. Orient. 68
XI = Coll. Pal. 29, 6 cf. Cyrill. adu. Nestor. 3, 2. apol. adu. Theodoret. 51
XII = Coll. Pal. 29, 21. cf. Cyrill. apol. adu. Theodoret. 51

---

VM, P [= hk], S, D [= mn], AWRΛ$^{tcu}$

1 τὸ P τῶ R 1/2 χωριζομένου] φαινομένου P 3 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SDA εἰς δόγμα MPAWΛ$^{tcu}$ om. VSDR 4 ὁ λόγοσ θσ̄ W καὶ om. SD καὶ υἱὸσ SDAWRΛ$^{c}$ υἱὸσ VMPΛ$^{tu}$ cf. $A^{78}$ 5 καιροῖσ καὶ D 6 κεχωρισμένοσ VMPDWΛ$^{tcu}$ Cyrill. κεχωρισμένωσ SA κεχωρισμέν R cf. $A^{78}$ 7 δογματίζωμεν V τῶι om. S 8 τῶι om. S υἱότητοσ οὐ κατὰ τὰσ φύσεισ διὰ τοῦτο καὶ V 9 οὐ κατὰ — τοῦτο καὶ om. V 10 ὁ om. D τὴν συνάφειαν SDAWR συνάφειαν VMP τὸν DA$A^{78}$ om. VMPSWR 11 om. W ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SD εἰς δόγμα om. RΛ$^{t}$ 12 φύσεωσ RΛ$^{t}$ τηροῦμεν Λ$^{tu}$ ὁμολογοῦμεν Λ$^{tu}$ 12/13 ἐν ἀνθρώπωι] ἕνα W 13 σέβομεν PAΛ$^{tu}$ τὸν ἐν h ἐν k τῆι θείαι om. V 15 ὁμοίως τοῦ αὐτοῦ om. R τετράδος ϛ̄ om. V ζ̄ P om. R 16 τὸ — εὐθὺς] τοῦτο τοῖσ ἑξῆσ W τὸ τούτοισ] τοσούτοισ D φησί om. VMA 17 τὸν om. SD 17/18 πειραθεὶσ A$A^{78}$ 20 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om SDA 21 μάθη M ὑπάρχει MP συνάφειαν R om. M 22 καθορωμένη W cf. $A^{78}$ αὐτὸσ MPSDAWR ὁ αὐτὸσ V$A^{78}$ αὐτοῦ Λ$^{c}$ καὶ$^{1}$ om. VΛ$^{u}$ 23 κροτεῖτε SDAWRΛ$^{tcu}$ κρατεῖτε MP κρατῆτε V cf. $A^{78}$ 24 οἰκήτωρ DAWRΛ$^{tcu}$$A^{78}$ Coll. Pal. δεσπότησ VMPS

[XIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ᾱ

Κοιναὶ γὰρ αἱ τῆς τριάδος ἐνέργειαι καὶ μόναις ὑποστάσεσιν τὴν διαίρεσιν ἔχουσαι. (Loofs p. 225, 13-18) ἡ γοῦν τοῦ μονογενοῦς εὐδοξία ποτὲ μὲν τῶι πατρὶ περιῆπται (ἔστιν γάρ φησιν, ὁ πατήρ μου ὁ δοξάζων με), (Ioh. 8, 54) ποτὲ δὲ τῶι πνεύματι (τὸ πνεῦμα γάρ φησι, τῆς ἀληθείας ἐμὲ δοξάσει), (Ioh. 16, 13. 14) ποτὲ δὲ τῆι τοῦ Χριστοῦ δυναστείαι.

[XIIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιϛ

Περὶ τοῦ υἱοῦ λέγων Οὗτος ὁ λέγων· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; (Loofs p. 260, 4-7; Mt. 27, 46) οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῆι θεότητι τοῦτον ὡς τῆς θείας συνεργὸν αὐθεντίας.

[XV] Καὶ μεθ᾽ ἕτερα· Διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. (Loofs p. 262, 3-12) ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ᾽ ἑνῶ τὴν προσκύνησιν. οὐ καθ᾽ ἑαυτὸ θεὸς τὸ πλασθὲν ἐπὶ μήτρας· οὐ καθ᾽ ἑαυτὸ θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος· οὐ καθ᾽ ἑαυτὸ θεὸς τὸ ταφὲν ἐπὶ μνήματος. οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι καὶ νεκρολάτραι σαφεῖς. ἀλλ᾽ ἐπειδήπερ ἐν τῶι ληφθέντι θεός, ἐκ τοῦ λαβόντος ὁ ληφθείς, ὡς τῶι λαβόντι συναφθείς, συγχρηματίζει θεός.

[XVI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος γ̄ κατὰ αἱρετικῶν

Περὶ τοῦ πνεύματος λέγων· Πῶς γὰρ ἂν εἴη δοῦλον, φησί, τὸ μετὰ υἱοῦ καὶ πατρὸς ἐργαζόμενον; (Loofs p. 226, 14-227, 3) κἂν ζητῆι τις τὰς τοῦ πνεύματος πράξεις, εὑρήσει τῶν τοῦ υἱοῦ καὶ τοῦ πατρὸς κατ᾽ οὐδὲν λειπομένας, οὐχ ὡς τῆς μιᾶς μεριζομένης θεότητος, ἀλλὰ τῆς θείας γραφῆς τὰ τῆς μιᾶς ἰσχύος καὶ καθ᾽ ἑκάστην μεριζομένης ὑπόστασιν εἰς ἀπόδειξιν τοῦ τῆς τριάδος ὁμοίου. καί μοι σκόπει τὸ ὅμοιον ἐκ τῶν ἐν ἔργοις καιρίων ἀρξάμενον. ὁ θεὸς λόγος ἐγένετο σάρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν. (Ioh. 1, 14) συνεκάθισεν ἑαυτῶι τὴν ἀναληφθεῖσαν ὁ πατὴρ ἀνθρωπότητα· εἶπε γάρ φησιν, ὁ κύριος τῶι κυρίωι μου· κάθου ἐκ δεξιῶν μου. (Ps. 109, 1) τὴν τοῦ ἀναληφθέντος τὸ πνεῦμα κατελθὸν συνεκρότησε δόξαν· ὅταν γάρ φησιν, ἔλθηι τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἐμὲ δοξάσει. (Ioh. 16, 13. 14)

---

XIII inde a 3 ἡ γοῦν = Cyrill. adu. Nest. 2, 7. Coll. Palat. 29, 4
XIIII cf. Cyrill. adu. Nest. 2, 10. 5, 5. Coll. Pal. 29, 10
XV [cf. VIII] = Cyrill. adu. Nest. 2, 12 [usque ad 11 φαινόμενον]. 13. Coll. Pal. 29, 11
XVI inde a 23 ὁ θεός = Cyrill. adu. Nest. 4, 1

---

VM, P [= hk], S, D [= mn], AW, R [usque ad 9], $\Lambda^{tcu}$

1 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SDA τετράδος ᾱ om. V πρώτησ PA 3 ἤγουν ἡ M 4 δικάζων M 5 ποτὲ — δυναστείαι om. V δὲ τῆι om. M τοῦ om. ARA78 δυνάμει A 6 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. A τετράδος — λέγων¹ om. V τετράδια D 7 περὶ — λέγων¹ om. R τοῦ υἱοῦ MPA$\Lambda^{u}$ χ̅υ̅ SD τοῦ χ̅υ̅ W *de Iesu* $\Lambda^{tc}$ cf. $A^{78}$ ἐγκατέλιπές με D 10—p. 50, 16 καὶ μεθ᾽ — ποιῶν om. R καὶ om. S τόν³] τὸ W 11 τὸ φαινόμενον SW 12 χωρίζω²] οὐ χωρίζω P 13 ἐπὶ MPSAWΛ ἀπὸ V ἐκ D ἐκ VMPDAΛ ὑπὸ SW 14 τὸ ταφὲν om. $\Lambda^{t}$ τοῦ μνήματοσ SW ἂν om. S 15 ληφθέντοσ W 16 συναφθεὶς om. $\Lambda^{t}$ χρηματίζει P 17 ὁμοίως om. P τρίτησ PA 18 λέγον D ἂν om. V ἡ SW δοῦλοσ P ὁ MP υἱοῦ] χ̅υ̅ MP 19 ἐργαζόμενον] κατ᾽ οὐδὲν ὅλωσ MP ζητοίη V τάξεισ SD τὸν P 19/20 τοῦ υἱοῦ καὶ τοῦ [τοῦ om. $AA^{78}$] π̅ρ̅σ̅ SDAW$A^{78}$ *filii et patris* $\Lambda^{tcu}$ τοῦ π̅ρ̅σ̅ καὶ [καὶ τοῦ P] υἱοῦ VMP 21 καὶ om. $\Lambda^{u}$ cf. $A^{78}$ 22 τῆς τριάδος om. W καιρίων VA$\Lambda^{tcu}A^{78}$ καιρῶν MPSDW 23 ἐγίνετο A 24 ὁ πατὴρ ἀνθρωπότητα] σάρκα ὁ πατὴρ V 25 τοῦ om. A ἀποληφθέντοσ P 26 τὸ — ἀληθείασ ἔλθη VMP ἐκεῖνο P με D δοδάσει in διδάξει corr. W

[XVII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ϛ̄

Lc. 4, 18. 19 Περὶ Χριστοῦ λέγων ὅτι ἀπεστάλη κηρῦξαι αἰχμαλώτοις ἄφεσιν ὡς [ὁ] ἀπόστολος,
Loofs, p. 235, 6-236, 6 ἐπιφέρει καί φησιν· Οὗτος ὁ πιστὸς τῶι θεῶι πεποιημένος ἀρχιερεύς (ἐγένετο γὰρ οὗτος,
Hebr. 2, 17 οὐκ ἀιδίως προῆν)· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα. καὶ
L III 527 ἄκουε σαφεστέρας· σοι τοῦτο διαβοώσης φωνῆς. ἐν ταῖς ἡμέραις, φησί, τῆς σαρκὸς
Hebr. 5, 7-9 αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακου-
M IIII 1205 σθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοὴν καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῶι πᾶσιν αἴτιος σωτηρίας αἰωνίου. τελειοῦται δὲ τὸ κατὰ μικρὸν προκόπτον, αἱρετικέ, περὶ οὗ καὶ Ἰωάννης
Lc. 2, 52 ἐν τοῖς εὐαγγελίοις βοᾶι· Ἰησοῦς προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι·
Hebr. 5, 9. 10 οἷς σύμφωνα καὶ Παῦλος φθεγγόμενος τελειωθείς, φησίν, ἐγένετο πᾶσιν τοῖς ὑπακούουσιν αὐτῶι αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

[XVIII] Καὶ μεθ' ἕτερα· ἀρχιερεὺς κεκλημένος. τί οὖν ἀνθερμηνεύεις τῶι Παύλωι τὸν
Loofs, p. 236, 12-14 ἀπαθῆ θεὸν λόγον ἐπιγείωι καταμιγνὺς ὁμοιώματι καὶ παθητὸν ἀρχιερέα ποιῶν;

[XVIIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ζ̄

Loofs, p. 240, 1-4 Ὅθεν, ἀδελφοί [ἅγιοι], κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν
Hebr. 3, 1. 2 ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν.

[XX] Καὶ μεθ' ἕτερα· Ὄντος οὖν ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς
Loofs, p. 240, 4-9 καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος.

Σημειωτέον ὅτι ὁμολογήσας πάντα ἀρχιερέα δεῖσθαι θυσίας καὶ ὑπεξελὼν τὸν Χριστὸν ὡς μὴ δεόμενον, ἐν τούτοις φησὶν ὑπὲρ ἑαυτοῦ προσφέρειν καὶ τοῦ γένους τὴν θυσίαν.

---

XVII. XVIII = Cyrill. adu. Nest. 3, 4; cf. Cyrill. adu. Orient. 85. adu. Theodoret. 77
XX = Cyrill. adu. Nest. 3, 5; cf. Cyrill. apol. adu. Theodoret. 77

---

VM, P [= hk], S, D [= mn], AW, R [inde a 17], $\Lambda^{tcu}$

1 ϛ̄ τετράδοσ M ϛ̄] καὶ SW 2 λέγον D ὁ deleui cf. $A^{78}$; male uertit $\Lambda^{u}$ *sicut apostolus dicit* 3 ἐπιφέρει καί om. $\Lambda^{t}$ 4 αἱρετικὲ εἰσ ἀρχιερέωσ [ἱερέωσ A] DA 5 σαφέστερον $S\Lambda^{tu}$ δς ἐν $\Lambda^{tc}$ [= Cyrill.] cf. $A^{78}$ ἡμέραισ ἐκείναισ V 6 τε om. V ἱκεσίασ V 9 πᾶσι τοῖσ ὑπακούουσιν αὐτῶ SW αὐτοῦ V 10 τὸ om. S προκόπτων V ἰωάννησ VMPSDAWΛ˙ *Lucas* $\Lambda^{t}$ *Iohannes et Lucas* $\Lambda^{u}$ cf. $A^{78}$ putauerim nomen a Nestorio omissum et ab excerptore falso suppletum esse 11 ἱεροῖσ εὐαγγελίοισ W ἐβόα A *clamant* $\Lambda^{u}$ προέκοψεν S 12 ὁ παῦλοσ SDW 12/13 τοῖσ ὑπακούουσιν αὐτῶ [αὐτοῦ V] πᾶσιν VMP 13 παρά, superscr. ὑπὸ W κῦ V ἀρχιερεὺσ $VMPSDAW\Lambda^{u}$ καὶ ἀρχιερεὺσ $\Lambda^{tc}$ cf. $A^{78}$ 16 ἐπιγείωι] λέγει ὧι $\Lambda^{t}$ σώματι A *simili corpori* $\Lambda^{c}$ *simile corpori* $\Lambda^{u}$ ἀρχιερέα ποιῶν $SDAW\Lambda A^{78}$ λέγων VMP 17 ὁμοίως τοῦ αὐτοῦ om. R in fine add. *sic* $\Lambda^{u}$ 18 ἅγιοι $R\Lambda^{c}$ $A^{78}$ om. $VMPSDAW\Lambda^{tu}$ 21 καὶ — ἕτερα om. V, nihil ex Nestorii uerbis omissum οὖν om. D ὑμῖν $M\Lambda^{tcu}$ μόνου om. P καὶ συμπαθοῦσ καὶ P 21/22 συγγενοῦσ βεβαίου VM 22 πίστεως om. S 23 ἀρχιερεὺς εὐλογίας Ps. Chrysost. ἀπεστάλη om. S ὡς ὑπὲρ] ὥσπερ M αὐτοῦ P συγγενοῦσ SD 25 ὑπεξελθὼν V 26 ὑπὲρ ἑαυτοῦ φησι VMP συγγενοῦσ SD τὴν om. VMP

[XXI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος δ̄

Ἀκούσατε τοίνυν προσέχοντες τοῖς ῥητοῖς. ὁ τρώγων μου, φησί, τὴν σάρκα. [Loofs, p. 227, 20-228, 3] μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται [Ioh. 6, 56] τὸ τῆς σαρκὸς ὄνομα, ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα. μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα καὶ πίνων μου τὴν θεότητα; ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῶι.

[XXII] Καὶ μεθ' ἕτερα· Ἀλλ' ἐπὶ τὸ προκείμενον. ὁ τρώγων μου τὴν σάρκα καὶ [Loofs, p. 228, 4-16] πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῶι. μνημονεύετε ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ, ἐμὲ τὸν φαινόμενον. [Ioh. 6, 57] ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκούσωμεν ἐκ τῶν ἑξῆς. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ. ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα· ἴδωμεν τίς ὁ παρερμηνεύων. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ. λέγει ὁ αἱρετικός· ἐνταῦθα τὴν θεότητα λέγει· ἀπέστειλέν με, φησί, τὸν θεὸν λόγον. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ, κατ' ἐκείνους κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τὸν πατέρα. εἶτα τὸ μετὰ τοῦτο· καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν, τὴν θεότητα ἢ τὴν σάρκα;

[XXIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ῑς̄

Καὶ ὅλως, φησίν, εἰ πᾶσαν ὁμοῦ τὴν καινὴν μεταλλεύοις, οὐκ ἂν εὕροις οὐδαμοῦ [Loofs, p. 269, 14-27] παρὰ ταύτηι τὸν θάνατον τῶι θεῶι προσαπτόμενον, ἀλλ' ἢ Χριστῶι ἢ υἱῶι ἢ κυρίωι. τὸ [L III 530] γὰρ Χριστὸς καὶ τὸ υἱός καὶ τὸ κύριος, ἐπὶ τοῦ μονογενοῦς παρὰ τῆς γραφῆς λαμβανόμενον, τῶν φύσεων ἐστὶ τῶν δύο σημαντικὸν καὶ ποτὲ μὲν δηλοῦν τὴν θεότητα, ποτὲ δὲ τὴν ἀν- [M IIII 1208] θρωπότητα, ποτὲ δὲ ἀμφότερα, οἷον ὅταν Παῦλος ἐπιστέλλων κηρύττηι ἐχθροὶ ὄντες [Rom. 5, 10] κατηλλάγημεν τῶι θεῶι διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, τὴν ἀνθρωπότητα βοᾶι τοῦ υἱοῦ· ἂν λέγηι πάλιν ὁ αὐτὸς πρὸς Ἑβραίους ὁ θεὸς ἐλάλησεν ἡμῖν ἐν [Hebr. 1, 2] υἱῶι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, τὴν θεότητα δηλοῖ τοῦ υἱοῦ. οὐδὲ γὰρ ἡ σὰρξ δημιουργὸς τῶν αἰώνων ἡ μετ' αἰῶνας δημιουργηθεῖσα πολλούς.

[XXIIII] Καὶ μεθ' ἕτερα· Οὐδὲ θεότης ἀδελφὸν τὸν Ἰάκωβον ἔσχεν οὐδὲ τὸν τοῦ θεοῦ λόγου [Loofs, p. 271, 1-3] καταγγέλλομεν θάνατον, τὸ δεσποτικὸν αἷμά τε καὶ σῶμα σιτούμενοι.

---

XXI. XXII = Cyrill. apolog. adu. Orient. 98
XXI = Coll. Pal. 29, 20
XXII [inde a 8 ὁ τρώγων] = Cyrill. adu. Nest. 4, 4. Coll. Pal. 29, 14
XXIII — 22 ἀμφοτερα adfertur a Timotheo Aeluro Patrol. or. 13, 231

---

V [usque ad 6], M, P [= hk], S, D [= mn], AWR$\Lambda^{tcu}$

1 ὁμοίως τοῦ αὐτοῦ om. R    ὁμοίωσ καὶ M    τετάρτησ P λ̄ A    2 προσχόντεσ D φησί om. SD    3 προστίθεται $\Lambda^{u}$    5/6 μὴ εἶπεν — μου τὸ αἷμα om. MW    6 τὴν θεότητα] ταύτην V    6—8 ὁ τρώγων — ἕτερα] ὁμοίωσ τοῦ αὐτοῦ τετράδοσ δ̄ P    6—28 ὁ τρώγων — σιτούμενοι om. V    6/7 ὁ τρώγων — αὐτῶι om. R    8 ἀλλ' — προκείμενον om. A    10 σαρκόσ ἐστι MP    10—12 ἐμὲ — ὁ ζῶν πατὴρ om. AW    11 παρερμηνεύων P    12/13 ἐκεῖνος — ὁ ζῶν πατήρ om. MP$\Lambda^{t}$    12 ἐγὼ δὲ D$\Lambda^{c}$    τί S    13 λέγει καὶ DA    14 λέγειν M    15 μετ' αὐτὸ R μετὰ σοῦ A    καὶ om. S    16 ἐσθίομεν] τρώγομεν P    σάρκα] ἀνθρωπότητα DA 17 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. S    τετράδια D    *tertio* $\Lambda^{u}$    18 μεταλλεύοισ MR$A^{78}$ μεταλεύοισ PS μεταλεύεισ D μεταλεύσεισ A μεταλάττοισ W    οὐδαμῶσ SDW    19 ταύτην A τῶι om. PS    20 λαμβάνομεν $\Lambda^{tu}$ *sicut* ante παρὰ interpolat $\Lambda^{t}$    22 ὁ παῦλοσ PR    24 ἂν SDAWR *cum* $\Lambda^{tcu}$ ὅταν δὲ MP$A^{78}$    λέγηι] δὴ MP    δι' om. W    25 δηλοῖ] λέγει A    26 πολλούς om. $\Lambda^{t}$    27—p. 52. 5 om. M    27 θεότητοσ D cf. $A^{78}$    ἰακὼβ W    τὸν θν λόγον Wm τὸν τοῦ θῦ λόγον n$\Lambda^{u}$

[XXV] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κγ̄

Loofs, p. 283, 2-8 Προσέχω, φησί, τοῖς ἡμετέροις δήμοις εὐλάβειαν μὲν πολλὴν κεκτημένοις καὶ θερμοτάτην εὐσέβειαν, ὑπὸ δὲ τῆς περὶ τὸ δόγμα θεογνωσίας ἀγνοίας ὀλισθαίνουσι. τοῦτο δὲ οὐκ ἔγκλημα τῶν λαῶν, ἀλλὰ (πῶς ἂν εὐπρεπῶς εἴποιμι;) τοῦ μὴ σχεῖν τοὺς διδασκάλους καιρὸν καί τι τῶν ἀκριβεστέρων ὑμῖν παραθέσθαι δογμάτων.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἰδοὺ φανερῶς ἐν τούτοις φησὶν ὅτι τῶν πρὸ αὐτοῦ διδασκάλων οὐδεὶς ταῦτα ἐλάλησε τοῖς λαοῖς ἃ αὐτὸς ἐλάλησεν.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἐπειδὴ δεινὰ καὶ βλάσφημα τὰ παρὰ Νεστορίου εἰρημένα καὶ οὐ φέρουσιν αἱ ἀκοαὶ ἡμῶν ἐπὶ πλεῖον μολύνεσθαι, ἕκαστον μέρος τῆς βλασφημίας αὐτοῦ ἐμφερέσθω τοῖς πραττομένοις πρὸς κατηγορίαν τοῦ διδάξαντος ταῦτα.

61 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος μητροπολίτης καὶ ἐπίσκοπος τῆς Καρθαγένης Καπρέολος διά Βεσσούλα τοῦ διακόνου γέγραφε πρὸς τὴν ἁγίαν ταύτην σύνοδον ἐπιστολήν, ἣν εἰ κελεύσειεν ὑμῶν ἡ θεοσέβεια, ἀναγνώσομαι, ἀναγνώσομαι δὲ καὶ τὴν ἑρμηνείαν αὐτῆς

Τοῖς θεοσεβεστάτοις καὶ μακαριωτάτοις καὶ ἁγιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχόθεν εἰς τὴν σύνοδον συνελθοῦσι Καπρέολος. Ηὐχόμην, εὐλαβέστατοι ἀδελφοί, ἐν τοιαύτῃ καταστάσει τὴν προσκυνητὴν ὑμῶν σύνοδον συγκροτηθῆναι, ἵνα καὶ ἡμεῖς, ἐπιλεχθέντων κοινῇ κρίσει ἀδελφῶν καὶ συνεπισκόπων ἡμετέρων, οὐ παραίτησιν θρήνου ἀξίαν, ἀλλὰ παρεσκευασμένην πρεσβείαν μᾶλλον πέμψωμεν, εἰ μὴ τὴν ἡμετέραν ἔνστασιν αἰτίαι διάφοροι ἐνεπόδιζον. καὶ γὰρ πρῶτον τοῦ δεσπότου καὶ υἱοῦ ἡμετέρου εὐσεβεστάτου βασιλέως Θεοδοσίου τοιαῦτα εἰς τὰς ἡμετέρας χεῖρας γράμματα ἐλήλυθεν, ἅτινα τοῦ τῆς μακαρίας μνήμης ἀδελφοῦ ἡμετέρου καὶ συνεπισκόπου Αὐγουστίνου τὴν παρουσίαν ἰδικῶς
L III 531 ἀπήτει, ἅτινα προειρημένα γράμματα εἰς ταύτην τὴν ζωὴν εὑρεῖν αὐτὸν οὐδαμῶς δεδύνηνται. ὅθεν ἐγώ, ὅστις τὴν αὐτὴν βασιλικὴν σημείωσιν, εἰ καὶ τὰ μάλιστα τῶι προειρη-
M IIII 1209 μένωι πεπέμφθαι ἐδόκει, ἐδεξάμην καταπεμφθεῖσαν, κατὰ πάσας τὰς ἐπαρχίας τῆς Ἀφρικῆς ἁρμοδίοις γράμμασι καὶ ταῖς ἐθίμοις διαλέξεσι σύνοδον ἠβουλήθην συναγαγεῖν, ἵνα ἐπιλεχθέντες ἀπὸ τοῦ ἀριθμοῦ τῶν ἀδελφῶν καὶ ἐπισκόπων τῶν ἡμετέρων εἰς τὴν προσκυνη-

---

**XXV** adfert Cyrillus in ep. ad clericos [V 22, pars 1 p. 111, 11—14]

---

VM, P [= hk], S, D [= mn], A, W [usque ad 11], Λ[tcu]

1 ὁμοίως om. D κβ̄ V κε̄ P γ̄ Λ[u] 2 ὑμετέροισ D 2/3 θερμότητοσ SD 3 τὸ δόγμα] δόγμα τῆσ SW ἀγνοίασ SW ἀγνοία DAA[78] om. VP ὀλισθαίνουσι VAA[78] ὀλισθαίνοντασ SDW ὀλισθαίνοντι P 4 τοῦ DAW καὶ τοῦ S τὸ P τῶ V ἔχειν VPA[78] 5 ἡμῖν παραθέσθαι S παραθέσθαι ἡμῖν W 6 πριμμικήριοσ M[corr] PSDW πριμμηκήριοσ V νοταρίων om. M 7 ταῦτα ἐπ' ἐκκλησίασ A 9 ἐπίσκοπος om. M 9/10 τοῦ νεστορίου P 10 πλέον SD 11 αὐτά VPD 12 ξᾱ V λδ' D Ἀλεξανδρείας om. M πριμμικήριοσ M[corr] PSD πριμμηκήριοσ V νοταρίων om. M 13 θεοφιλέστατοσ M καθαργένησ MPD καπραίολοσ VPSD καὶ πραίολοσ M βεσουλᾶ MSDA 14 ἔγραψε A 15 ἀναγνώσομαι δὲ — p. 54, 16 om. M pro iis ponendo ἡ δὲ τοιαύτη ἐπιστολὴ βούλεται τὰ μὲν ἀρχαῖα κρατύνεσθαι δόγματα τὰ δὲ νεαρὰ καὶ ἀτόπωσ ἐξηυρημένα καὶ ἀσεβῶσ εἰρημένα ἀποδοκιμάζεσθαι καὶ ἐκβάλλεσθαι ἥντινα ἐπιστολὴν ἐμφέρεσθαι τῆι πίστει τῶν ὑπομνημάτων κύριλλοσ ὁ τῆς ἀλεξανδρείασ ἐπίσκοποσ ἐκέλευσεν 15 ἀναγνωσόμεθα δὲ DΛ om. A καὶ om. A 16 λγ̄ S θεοσεβεστάτοις] εὐλαβεστάτοισ A 16/17 πανταχόθεν A ἁπανταχοῦ SD 17 συνελθοῦσι VAΛ ἐλθοῦσι PSD καπραίολοσ VPSΛ καπρέολοσ [καπραίολοσ D] ἐπίσκοποσ ἐν κω̄ χαίρειν DA 18 ἡμῶν S 19 θρόνου P 20 μᾶλλον πρεσβείαν VP ἔνστασιν AΛ σύστασιν VPSD 21 τοῦ ἡμετέρου SD 24 αὐτὸν εὑρεῖν οὐδαμῶσ D αὐτὸν οὐδαμῶσ εὑρεῖν A εὑρεῖν οὐδαμῶσ S 24/25 δεδύνηται A 25 τὴν αὐτήν] τὴν τοιαύτην P τὴν S *ipsam* Λ 26 καταπεμφθεῖσι A τὰς om. A 27 τοῖσ ἁρμοδίοισ V ἐθίμοις om. spat. rel. S σύνοδον PSΛ συνάδουσαν A συνάδουσαν σύνοδον V σὺν ἡδονῇ D 28 τῶν ἐπισκόπων τῶν A

τὴν σύνοδον τῆς ὑμετέρας μακαριότητος καταπεμφθῶσιν. ἀλλ' ἐπειδὴ οὐκ ἀνέωικται ἡ εἴσοδος τῆς παρόδου (καὶ γὰρ ἡ ἐπιχυθεῖσα τῶν πολεμίων πληθὺς καὶ ἡ πόρθησις ἡ πλατεῖα τῶν ἐπαρχιῶν ἥτις ἢ ἀποσβεσθέντων τῶν οἰκητόρων ἢ φυγόντων ἀθλίαν ἐρημώσεως ὄψιν εἰς μῆκος καὶ πλάτος ἐκτείνουσα τὴν εὐχέρειαν συστέλλει τοῦ ἐλθεῖν), τούτοις τοιγαροῦν τοῖς κωλύμασι συνελθεῖν εἰς ἓν τοῦ κύκλου τῆς Ἀφρικῆς οἱ ἐπίσκοποι οὐδαμῶς ἠδυνήθησαν. οἷς προσετέθη ἐπειδὴ τὰ βασιλικὰ γράμματα ἐν ἡμέραις τοῦ πάσχα εἰς ἡμᾶς ἦλθεν, ὅτε d. 19. m. Apr. 431 μόλις μέχρι τῆς προσκυνητῆς πάσης συνόδου δύο μηνῶν διάστημα περιελιμπάνετο, οἵτινες μόλις ἤρκουν κἂν αὐτῆι τῆι κατὰ Ἀφρικὴν συνόδωι εἰς τὸ συνελθεῖν, καὶ εἰ μηδεμία δυσχέρεια ἀπὸ τῶν πολεμίων ἡ παροῦσα συμβεβήκει. ἐντεῦθεν γεγένηται ἵνα, εἰ καὶ τὰ μάλιστα πρέσβεις οὐδαμῶς ἐκπέμψαι δεδυνήμεθα, διὰ τὴν εὐλάβειαν ὅμως τὴν χρεωστουμένην τῆι ἐκκλησιαστικῆι ἐπιστήμηι τὸν υἱὸν τὸν ἐμὸν Βεσσούλαν τὸν διάκονον μετὰ τούτων τῶν τῆς παραιτήσεως γραμμάτων ἐπέμψαμεν, προσκυνητοὶ ἀδελφοί. ὅθεν αἰτῶ τὴν ὑμετέραν ἁγιότητα, εἰ καὶ τὰ μάλιστα πιστεύω τῆι βοηθείαι τοῦ ἡμετέρου θεοῦ τοσαύτην σύνοδον προσκυνητῶν ἱερέων βεβαίαν διὰ πάντων τὴν πίστιν τὴν καθολικὴν ἐσομένην, ἵνα ἐνεργοῦντος τοῦ ἁγίου πνεύματος, ὅπερ ταῖς ὑμετέραις καρδίαις ἐν πᾶσι τοῖς πρακτέοις πιστεύομεν παρεσόμενον, τὰς καινὰς διδασκαλίας καὶ πρὸ τούτου ταῖς ἐκκλησιαστικαῖς ἀκοαῖς ἀπείρους τῆς ἀρχαίας αὐθεντίας τῆι δυνάμει ἀπώσησθε καὶ οὕτως ταῖς καιναῖς οἱαισδήποτε πλάναις ἀντιστῆτε, ἵνα μὴ τούτους οὓς πάλαι ἐπολέμησεν ἡ ἐκκλησία καὶ τούτοις τοῖς καιροῖς ἐν οἷς ἀνεφύησαν, καὶ τῆς ἀποστολικῆς καθέδρας ἡ αὐθεντία καὶ εἰς ἓν συμφωνοῦσα ἡ ψῆφος ἡ ἱερατικὴ συνέχωσεν, προσχήματι δευτέρας διαλέξεως ἡ φωνὴ δόξηι ἡ πάλαι ἀφαιρεθεῖσα ἀνανεοῦσθαι. ἔχει γάρ, εἴ τι τυχὸν νεωστὶ ἀναφυῆι, ζητήσεως ἀνάγκην, ἵνα ἢ δεχθὲν δοκιμασθῆι ἢ καταδικασθὲν δυνηθῆι ἀποκρουσθῆναι· ταῦτα δὲ περὶ ὧν ἤδη πάλαι ἐκρίθη, ἐάν τις ἐπαφῆι εἰς δευτέραν διάλεξιν κληθῆναι, οὐδὲν ἕτερον δόξει ἢ περὶ τῆς πίστεως ἥτις μέχρι δεῦρο κατέσχεν, αὐτὸς ἀμφιβάλλειν. ἔπειτα διὰ τὸ τῶν μεταγενεστέρων ὑπόδειγμα, ἵνα ταῦτα ἅπερ νῦν ὑπὲρ τῆς καθολικῆς πίστεως ὥρισται, ἔχειν δυνηθῆι διηνεκῆ βεβαίωσιν, ταῦτα ἅπερ ἤδη ἐστὶ παρὰ τῶν πατέρων ὁρισθέντα, φυλακτέα ἐστίν, ἐπειδὴ ὅστις βούλεται ἅτινα ὑπὲρ τῆς καθολικῆς καταστάσεως ἐθέσπισεν, εἰς τὸ διηνεκὲς μένειν, οὐ τῆι ἰδίαι αὐθεντίαι, ἀλλὰ καὶ τῆι τῶν ἀρχαιοτέρων ψήφωι ὀφείλει

---

21—24 Fulgentius Ferrandus in ep. 6, 6 [BP ed. Gallandi XI p. 362b], ni fallor, ex ipso latino exemplari excerpsit: *habet quidquid forte nuper exoritur, discussionis necessitatem, ut aut recipi probatum aut damnatum possit excludi; ea uero de quibus antea iam iudicatum est, siquis admiserit in retractationem uocari, ⟨nihil aliud⟩ uidebitur quam de fide quam nunc usque tenuit, ipse dubitare.*

---

V, P [= hk], S, D [= mn], ΑΛtcu

1 καταπεμφθῶ V 2 παροδίασ V ἐπελθοῦσα A τῶν om. VP 3/4 ἥτις — ἐκτείνουσα = *quae extendit*; ἥτις ἐκτείνει et ἡ ἐκτείνουσα solito translatorum more conflata sunt. ceterum ἐκτείνουσαν legit Λlu 3 ἢ om. DA ἢ] καὶ DA ἀθλίαν VPSΛ εἰσ τελείαν DA 5 οὐδαμῶσ οἱ ἐπίσκοποι D 6 προσετέθη VPAΛ προετέθη SD; προσετέθη ἐπειδή = *accedebat quoniam* [= *quod*] ἔφθασαν εἰσ ἡμᾶσ ἐλθεῖν A ὅτε VDAΛ ὅτι PS 7 προσκυνητοῦ V πάσης] ταύτησ P 8 ἤρκουν ἂν P ἤρκεσαν S τὴν ἀφρικὴν A ἐλθεῖν VPS 9 ἡ a translatore male additum συμβέβηκεν S γεγένηται AΛ γεγενῆσθαι VPSD ἵν' A om. Λ 10 πέμψαι SD 11 βεσούλαν V βεσουλᾶν SDA 12 ἐπέμψαμεν DAΛ πέμψωμεν VS πέμψομεν P προσκυνητὴν SD 13/14 *per tantam* Λ 14 προσκυνητὴν VPS 14/15 βεβαίαν — ἐσομένην] *firmam futuram* pro *firmaturam*? 15 ἡμετέραισ P 16 καινὰσ Λ κοινὰσ A κενὰσ VPSD τούτων S ταῖς] καὶ P 17/18 καιναῖσ AΛ κεναῖσ VSD κοιναῖσ P 18 οἱασδήποτε PA ἀντιστῆναι PSΛtu *eorum* Λc, malim τούτοις 19 ἐν om. SD 20 ἡ ἱερατική] ἱερατικὸν S συνέχωσεν] συνεχῶσ ἐν [*frequenter sub*] Λ συνέχωσεν ἐν VA συνεχώρησε D συνεχώρησεν ἐν PS δευτέρας om. D 21 δόξει S τισ P ἀναφυεῖ P 22 ἀνάγκην] ἀγωγή P δεχθὲν AΛ λεχθὲν VPSD δὲ om. P 23 κριθῆναι DA οὐδὲ S 24 ἤπερ V εἴπερ Λtu μέχρι τῆσ DA 25 ὑπὲρ] διὰ A 27 ἅπερ V

βεβαιῶσαι ὅπερ ἐφρόνησεν, ὥστε οὕτως τοῦτο μὲν ἀπὸ τῶν ἀρχαιοτέρων, τοῦτο δὲ ἀπὸ L III 534 τῶν νέων ὅρων τοῦτο ὅπερ διαβεβαιοῦται, δοκιμάζων, μονογενῆ τῆς ἐκκλησίας τῆς καθολι- M IIII 1212 κῆς τὴν ἀλήθειαν ἀπὸ τῶν παρωιχημένων καιρῶν μέχρι τῶν ἡμετέρων ἁπλῆι καθαρότητι καὶ ἀηττήτωι αὐθεντίαι τρέχουσαν ἑαυτὸν καὶ λέγειν διδάξει καὶ κατέχειν. ταῦτα τέως ὑπὲρ τῆς παρούσης πρεσβείας τῆς Ἀφρικῆς, ἥντινα καταπέμψαι ἡ ἀνάγκη ἡ προρρηθεῖσα οὐ συνεχώρησε, ταῖς προσκυνηταῖς ὑμῶν ἀκοαῖς ὑπέβαλον, πλεῖστα παρακαλῶν ἵνα θεωρηθεισῶν τῶν ἐν τοῖς πράγμασι καὶ τοῖς καιροῖς συμφορῶν τὴν ἡμετέραν ἀπουσίαν μηδεμιᾶι ὑπερηφανίαι ἢ ἀμελείαι, ἀλλὰ ταύτηι τῆι προδήλωι ἀνάγκηι μᾶλλον λογίσασθαι καταξιώσητε.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου τῆς Καρθαγένης Καπρεόλου ἐμφερέσθω τῆι πίστει τῶν ὑπομνημάτων, φανερὰν ἔχουσα διάνοιαν. βούλεται γὰρ τὰ μὲν ἀρχαῖα κρατύνεσθαι τῆς πίστεως δόγματα, τὰ δὲ νεαρὰ καὶ ἀτόπως ἐξηυρημένα καὶ ἀσεβῶς εἰρημένα ἀποδοκιμάζεσθαι καὶ ἐκβάλλεσθαι.

Πάντες οἱ ἐπίσκοποι ἀνεφώνησαν· Αὗται πάντων αἱ φωναί. Ταῦτα πάντες λέγομεν. Αὕτη πάντων ἡ εὐχή.

### Ἀπόφασις ἐξενεχθεῖσα κατὰ Νεστορίου ἡ καθαιροῦσα αὐτόν

Ἡ ἁγία σύνοδος εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ τιμιωτάτου Νεστορίου τῆι παρ' ἡμῶν κλήσει μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ θεοσεβεστάτους ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν δυσσεβηθέντων αὐτῶι καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ ἐκ τῶν συγγραμμάτων τῶν ἀναγνωσθέντων καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρόπολιν καὶ προσμαρτυρηθέντων δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως ep. 10 κατεπειχθέντες ἀπό τε τῶν κανόνων καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου [τοῦ] ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας δακρύσαντες πολλάκις ἐπὶ ταύτην τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν

**62** Ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ.

---

9—15 adfert Vincentius Lerinensis in Commonitorio 31
16—28 adferuntur V 106, 30 [pars 3 p. 60, 14—24]

V, M [inde a 17], P [= hk], S, D [= mn], A, W [inde a 17], Λ[teu]

1 βεβαιωθῆναι V 1/2 δὲ — τοῦτο om. A 2 τοῦτο om. V μονογενῆ SDΛ μόνοσ ἐν ἧι VP περὶ τοῦ μονογενοῦσ A 2/3 τῆσ καθολικῆσ ἐκκλησίασ V 3 ἡμετέρων PSDAΛ παρόντων ἤτοι τῶν ἡμετέρων V 4 διδάξηι PD τέωσ VPSΛ ὡσ DA 6 παρεχώρησε A ἐν ταῖσ D ὑμῶν om. P ὑπολαβὸν S ὑπολαβὼν P παρακαλῶ P 6/7 θεωρηθῆ των νέων τοῖσ πράγμασι S 8 ὑπερηφανεία P ἀλλὰ ταύτη VPS ἀλλ' αὐτῆ DA καταλογίσασθαι A 10 τῆς om. D καθαργένησ PSD καπρεόλου Λ καπραιόλου VPSD 11 φανερὰν — διάνοιαν om. Λ 12 τῆς πίστεως om. VP καὶ — ἐξηυρημένα] *utpote adinuenta* = ἅτε προσεξηυρημένα Λ ἐξευρημένα D ὑπεξηρημένα A 14 ἅμα ἀνεβόησαν D ἅμα ἐβόησαν A συνεφώνησαν P πάντα D 15 ἡ om. S 16 om. VPS λδ̄ S λε' D 17 νθ P μὴ δὲ A τιμιωτάτου] ἀσεβεστάτου D 18 παρ' ἡμῶν] παρενίων W 18/19 καὶ θεοφιλεστάτουσ A 106, 30 om. M 19 δεξαμένου VMP πρὸσ A 20 δυσφημηθέντων A αὐτοῦ DAΛ om. VMPSW 21 γραμμάτων W τῶν ἀναγνωσθέντων M[corr] SAΛ τῶν τε ἀναγνωσθέντων D τῶν [om. M] καὶ ἀναγνωσθέντων MW ἀναγνωσθέντων P αὐτοῦ V cf. 106, 30 τήνδε] δὲ A 23 κινηθέντες 106, 30 τῶν om. M ἐκ om. A 24 καὶ συλλειτουργοῦ om. D τοῦ om. SDA 25 ταύτην om. V 26 ξβ V 27 ἁγίασ SD τε om. V

1 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῆι ἁγίαι συνόδωι.
2 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῆι ἁγίαι συνόδωι.
3 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῆι ἁγίαι συνόδωι.
4 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῆι ἁγίαι συνόδωι.
5 Μέμνων ἐπίσκοπος Ἐφέσου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῆι ἁγίαι συνόδωι. M IIII 1213
μητροπολιτῶν ἁγίων ἐπισκόπων. τοῦτο οὖν ἐγένετο, ἵνα πεμφθῆι καὶ ἔλθωσιν οἱ ἐρχόμενοι οἱ καὶ τὰ πεπραγμένα ποιοῦντες φανερὰ καταστῆναι, λέγω δὴ οἱ ἁγιώτατοι ἐπίσκοποι οἱ νῦν ἐρχόμενοι παρὰ τῆς ἁγίας συνόδου.' καὶ εἶπεν ὅτι 'καλῶς ἐζήτησας' καὶ πάλιν προσέθηκε ῥῆμα ἓν καὶ εἶπεν· 'εὔχεσθε ὑπὲρ ἐμοῦ'. καὶ οἶδα ὅτι ὁ βασιλεὺς ἐξηκολούθησε μᾶλλον τῶι θεῶι καὶ τῆι ἁγίαι συνόδωι καὶ οὐκέτι τοῖς διεστραμμένοις ἀνθρώποις. εὔχεσθε οὖν ὑπὲρ τοῦ βασιλέως καὶ ὑπὲρ ἡμῶν.

**68** = S 48. Latina uersio extat in Collectione CT 32

Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ γραφεῖσα ἀπὸ Ἐφέσου πρὸς τοὺς πατέρας τῶν μοναζόντων L III 576 M IIII 1244

Κύριλλος τοῖς εὐλαβεστάτοις καὶ θεοσεβεστάτοις πατράσι μοναχοῖς καὶ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσκοῦσι καὶ ἐν πίστει θεοῦ ἱδρυμένοις ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίωι χαίρειν. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτε τὰς παρὰ τῶν ἀνοσίων Ἰουδαίων ὑπέμεινε παροινίας, λοιδορούμενος καὶ ῥαπιζόμενος, μαστιζόμενος καὶ τὸ τελευταῖον δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν σταυρωῖ προσηλούμενος, ὁρῶν ἅπαντας τοὺς πλημμελοῦντας εἰς M IIII 1245
αὐτὸν τὰς ἀνοσίους ἐπ' αὐτῶι κινοῦντας κεφαλάς, ἔλεγε· καὶ ὑπέμεινα συλλυπούμενον, Ps. 68, 21
καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον, τοιοῦτόν τι καὶ νῦν γεγενημένον ὁρῶμεν, μᾶλλον δὲ ἵνα μὴ τὸν τῶν πιστῶν καὶ γνησίων ὑβρίσω ζῆλον, ἐπὶ ταῖς Νεστορίου δυσφημίαις πολλοὺς ἔσχε τοὺς συλλυπουμένους, εἰ καὶ ἠθέτησαν τινὲς αὐτὸν τῶν συντεταγμένων εἰς ἱερωσύνην συμπράττοντες τῶι αἱρετικῶι καὶ τοῖς αὐτῶι πολε- L III 577
μοῦσιν ἀντιταττόμενοι· ἀλλὰ καταργήσει Χριστὸς τὰς τούτων ἀπαιδευσίας, μᾶλλον δὲ ἤδη καὶ κατήργηκε. πέπαυται γὰρ τὸ δύσφημον στόμα καὶ σεσίγηκεν ἡ μιαρωτάτη γλῶττα οὐκέτι τὰς κατὰ Χριστοῦ προφέρουσα βλασφημίας ἐν ἐξουσίαι διδασκαλικῆι τε καὶ ἱερατικῆι καὶ οἱ τὴν φιλίαν αὐτοῦ δυσωπηθέντες μᾶλλον καὶ οὐχὶ τῆς εἰς Χριστὸν ἀγάπης πεφροντικότες ἀτιμίας ἔχουσι τὰ πρόσωπα μεστά· τοῦτο γὰρ αὐτοῖς ὠφείλετο. ἀλλ' εἰ καὶ νενίκηται λοιπὸν ὁ ἐχθρὸς καὶ ἐσμὲν ἐν λειψάνοις τῆς φροντίδος, χρήιζομεν καὶ οὕτως τῶν ὑμετέρων ἱκετειῶν πρὸς θεὸν καὶ ἐστὶν ἀναγκαῖον ὑμᾶς, ὡς ἀναθέντας θεῶι τὴν ἑαυτῶν ζωήν, ὁσίους ἐπαίρειν χεῖρας καὶ συχνῶς τοῦτο πράττειν ὑπὲρ ἡμῶν. ἐννοήσατε 1 Tim. 2, 8
γὰρ ὅτι Ἰησοῦς ὁ τοῦ Ναυὴ μετὰ τῶν ἐπιλέκτων τοῦ Ἰσραὴλ ἀντετάττετο τῶι Ἀμαλήκ, ὁ Exod 17, 9—13
δέ γε μακάριος Μωσῆς τὰς χεῖρας ἐπαίρων ἐζήτει παρὰ θεοῦ τὸ νικᾶν δύνασθαι τοὺς ἐν πολέμωι καὶ μάχηι. ἀνδριζέσθω τοίνυν ἡ θεοσέβεια ὑμῶν εἰς προσευχὰς καὶ ὡς τέκνα γνήσια πατράσι συμπράττετε νόσον ὥσπερ τινὰ λοιμικὴν τὴν Νεστορίου κακοδοξίαν ἐκκόψασιν, ἵνα καὶ ἄσπιλον καὶ ἀμώμητον καὶ οὐδαμόθεν διαβεβλημένην ἔχοντες πίστιν εὐαρεστεῖν ἰσχύσωμεν τῶι τὰ πάντα δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὑπομεμενηκότι Χριστῶι. εὐφράνατε

---

VM, P [= hk], S, D = [mn], W [inde a 10], ΛᵗΛᶜ

1 μητροπολιτῶν P μητροπολιτῶν τῶν VMSD 3 εἶπεν MP εἶπον VSDΛ

8 ξη V μη SD 8/9 om. W 8 ἀρχιεπισκόπου VMΛ ἐπισκόπου PSD 10 καὶ θεοσεβεστάτοις om. M πατράσι μοναχοῖσ VPS μοναχοῖς Λᵗ πατράσι μοναχῶν [τῶν μοναχῶν D] DWΛᶜ πατράσι μοναχοῖσ siue μοναχῶν M ἡμῖν VS 12 ἀνοσίων om. SD 13 παροι.οίασ P παρανοίασ W ῥαπιζόμενοσ μαστιζόμενοσ VMΛ ῥαπιζόμενοσ καὶ μαστιζόμενοσ P μαστιζόμενοσ SD μαστιζόμενοσ ῥαπιζόμενοσ W τὸ om. P τῶ δι' VMP 15 καὶ τὰσ V κινοῦντασ SDWΛ σείοντασ VMP ἔφασκε VMP 16 ὑπῆρχε MPS παρακαλοῦντα MPΛ 18 δυσφημίαισ νεστορίου VMP τοὺς om. VMP λυπουμένουσ S 19 αὐτὸν P 20 ἀντιπραττόμενοι SW 20/21 ἤδη καὶ κατήργηκε MPΛ ἤδη κεκατήργηκε VD ἤδη κατήργηκε S καὶ ἤδη κατήργηκε W 21 σεσιώπηκεν SDW γλῶσσα SW 22 τοῦ χῦ P προφέρουσι D 22/23 ἀρχιερατικῆ VMP 24 ἀτιμία S 25 νενίκητο S ἐν] φησι W 26 τὸν θν VM ἡμᾶσ D τῶ θω VMP 27 ὁσίασ W 28 ὁ ῑσ ὁ S ἀντεπράττετο V 29 γε om. SW μωυσῆσ MS τοῦ θῦ W τοῖσ MP 31/32 ἐκκόψαντεσ V 33 ἰσχύσομεν W εὐφράνετε D

δὲ καὶ διὰ γραμμάτων ἡμᾶς· δεξόμεθα γὰρ ὡς ἱκανωτάτην τὸ πρᾶγμα παράκλησιν. ἐρρῶσθαι ὑμᾶς εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

**69** = S 104 A 142

L III 572 M IIII 1241 Τῶι εὐλαβεστάτωι κλήρωι καὶ τῶι λαῶι παρὰ τῆς ἁγίας συνόδου. Οὐδεὶς τολμή-
σας τῶι ἰδίωι κτίστηι ἐναντιωθῆναι ἔμεινεν ἐκτὸς θείας δίκης, ἀλλ' εὐθὺς ὅσον ἧκε καὶ εἰς
ἀνθρωπίνην ὄψιν, ἠμείφθη μερικῶς διὰ τὸ τὴν τελειοτέραν ἀμοιβὴν τῶι τῆς κρίσεως καιρῶι
L III 573 κατ' αὐτοῦ φυλάττεσθαι. ὅθεν καὶ Νεστόριος ὁ τῆς δυσσεβοῦς αἱρέσεως ἀνακαινιστὴς
φθάσας ἐν τῆι Ἐφεσίων, ἔνθα ὁ θεολόγος Ἰωάννης καὶ ἡ θεοτόκος παρθένος ἡ ἁγία
Μαρία, τοῦ συλλόγου τῶν ἁγίων πατέρων καὶ ἐπισκόπων ξενώσας ἑαυτὸν καὶ κακῶι τῶι συνειδότι
ἀπαντῆσαι μὴ τολμήσας, μετὰ τρίτην κλῆσιν ψήφωι δικαίαι τῆς ἁγίας τριάδος καὶ τῆς
αὐτῶν θεοπνεύστου κρίσεως κατακέκριται καὶ ἐκβέβληται ἐγγράφως ἐπὶ πράξεως ὑπομνη-
Phil. 4, 4 μάτων πάσης ἱερατικῆς ἀξίας. χαίρετε τοίνυν ἐν κυρίωι πάντοτε, πάλιν ἐρῶ
χαίρετε. κατήργηται γὰρ τὸ σκάνδαλον καὶ ἐξερριζώθη τὸ ζιζάνιον ἐκ τοῦ γεωργίου
Eph. 6, 16 τοῦ πνευματικοῦ χωρίου, ὑμεῖς δὲ ἀναζωπυρήσατε καὶ λαβόντες τὸν θυρεὸν τῆς πίστεως
ἐκποδὼν ἐλάσατε τοὺς τῆς μιαρᾶς καὶ βεβήλου καινοφωνίας ἐργάτας· ἔσται γάρ ὑμῖν ὁ
μισθὸς οὐκ ἐλάττων τῶν ἐνταῦθα κεκμηκότων. πάντας ὑμᾶς ἀσπάζονται οἱ ἐνταῦθα
σὺν ἡμῖν γνήσιοι ἀδελφοί.

**70** = S 105 A 143. Latina uersio quæ extat in Collectione CT 58, longiorem sequitur recensionem

L III 577 M IIII 1245 Ὁμιλία Ῥηγίνου ἐπισκόπου Κύπρου λεχθεῖσα ἐν Ἐφέσωι μετὰ τὴν καθαίρεσιν Νεστορίου

Ἐμοὶ μὲν ἐδόκει σιγᾶν καὶ ταύτηι τοὺς πατέρας τιμᾶν καὶ μὴ στήλην ἀπαιδευσίας
καταλιμπάνειν τὸν λόγον· ἐπειδὴ δὲ σιγᾶν ἐθέλοντα οὐκ ἐᾶις, ὦ σοφέ, καί μοι τῶν λόγων
Prou. 12, 15 ἀρκτέον· εἴρηται γάρ που· ὑπακούει συμβουλίας σοφός.
Ies. 14, 12 Οὐκοῦν ἐπειδήπερ σε διαγράφειν ἔγνωκεν ὁ μυσταγωγὸς λέγων πῶς ἐξέπεσεν
Apoc. 18, 2 ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων καὶ πῶς ἔπεσε Βαβυλών,
Deut. 32, 9 ἀναγκαίως ἑτέρωι τινὶ οὐκ ἦν συγκρῖναι. ἢ Ἰουδαίοις τοῖς κυριοκτόνοις, ὧν τὴν δυσσέβειαν
ἐξῆψας; οὗτοι γάρ ποτε θεοῦ μερὶς ἐγένοντο καὶ τὸν νόμον ἐδέξαντο καὶ υἱοθεσίας ἠ-
Rom. 9, 4 ξιώθησαν καὶ μυρίων ἀγαθῶν ἀπέλαυσαν καὶ ταῖς εὐεργεσίαις ἐμπαροινήσαντες ἤκουσαν
Ies. 1, 2 θεοῦ λέγοντος· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. τί δ' ἄν
σέ τις προσειπὼν ὀρθῶς προσείποι; τὸν ἄθλιον Κάιν; ἀλλὰ τὰ ἐκείνου μετριώτερα τῶν
Gen. 9, 22 M IIII 1248 σῶν. τὸν ἐλεεινὸν Χὰμ τὸν τῆι τοῦ πατρὸς ἐπιγελάσαντα γυμνώσει; ἀλλὰ τὰ
Ezech. 16, 52 Σοδομιτῶν ταῖς σαῖς δυσφημίαις ἀντιμετρήσας εἴπω δεδικαίωται Σόδομα ἐκ σοῦ;

---

V, M [usque ad 2], P [= hk], S, D [= mn], WΛᵗΛᶜ
1 δεξώμεθα V 2 ἡμᾶσ V
V, P [= hk], S, D [= mn], A
4—17 om. M, pro iis ponendo ἔγραψεν ἑτέραν ἐπιστολὴν τῆσ αὐτῆσ τῇ προγραφείσῃ ἐχομένην ἐννοίασ τῷ κλήρῳ καὶ τῷ λαῷ ἡ ἁγία σύνοδοσ ἢ γοῦν ὅτι καθηρέθη ὁ νεστόριοσ καὶ χαίρετε διὰ τοῦτο 4 ξθ V ρ' D Τῷ — συνόδου VPSD ἐπιστολὴ τῆσ ἁγίασ συνόδου πρὸσ τὸν κλῆρον καὶ τὸν λαὸν κωνσταντινουπόλεωσ A τῷ λαῷ VSD λαῷ κωνσταντινουπόλεωσ P 6 διὰ — καιρῶι om. P ἐν τῷ SD τῆσ κρίσεωσ] μέλλοντι V 10 τρίτην] τὴν D δικαίαι om. SD τριάδοσ VPA συνόδου SD 12 πάντοτε VSA χαίρετε P om. D καὶ πάλιν V 13 ἐξεριζώθη SD 13/14 χωρίου — γεωργίου V 14 δὲ καὶ P ἀναζωπυρίσατε S 15 μισαρᾶσ P κενοφωνίασ VPSDA ἡμῖν S 16 πάντασ γὰρ D
VM, P [= hk], S, D [= mn], AW (Λᵗᶜ)
20 ō V ξā P ρα' D λεχθεῖσα ἐν ἐφέσῳ ῥηγίνου — κύπρου VMSD ῥηθεῖσα A 22 ἐθέλοντασ W(Λᵗᶜ) 23 συμβούλου P 24 ἐπειδὴ SD 26 σε τινὶ W(Λᵗᶜ) 27 θεῷ P 28 ἀπήλαυσαν VPSDW 30 μετριότερα W 31 τοῦ om. VP ἐπεγγελάσαντα W 32 ἐπιμετρήσασ SD

σὺ γὰρ ἐν βραχεῖ χρόνωι τὴν οἰκουμένην ἐσάλευσας καὶ τὴν πίστιν ἀνατρέψαι ἠθέλησας
καὶ τὴν ἄρρητον οἰκονομίαν τῆς ἐνσάρκου παρουσίας τοῦ μονογενοῦς πορθῆσαι ἐσπούδασας
τό γε ἧκον ἐπὶ σοί, ὡς καὶ περὶ σοῦ λέγεσθαι οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι τοῖς L III 580
σοῖς τραύμασιν οὔτε ἔλαιον οὔτε καταδέσμους. καὶ ἔδει μὲν ἔκπαλαι πρὸς ἔλεγχον Ies. 1, 6
τῆς σῆς δυσσεβείας μικρὰ ὧν τετόλμηκας, ἀπονάσθαι σέ τε καὶ τὴν σὴν παρεμβολὴν ἢ
πυρίφλεκτον ἢ χασματιαίαν γενομένην, ἵνα τοῖς ἁπλουστέροις φαίνοιο δίκας δεδωκώς· παρ' Num. 16, 31. 35
ἡμῖν γὰρ ἤδη δέδωκας. ὁ γὰρ παρὰ σοῦ μεριζόμενος θεὸς λόγος ὁ προκύψας ἔνσαρκος
ἐκ τῆς θεοτόκου Μαρίας ἄφευκτόν σοι τὸ τῆς βασάνου κολαστήριον ἐν ἡμέραι κρίσεως
ὁριεῖ. ἀλλὰ τί φαίης, ὦ θαλάσσης καὶ θανάτου ἀνοητότερε; θάλασσα μὲν γὰρ τὸν Mt. 14, 25
δεσπότην ἰδοῦσα τὰ νῶτα ὑπέστρωσε, θάνατος δὲ Λάζαρον ἐδίδου τοῖς ἐξ αἵματος ἀσυνήθει Ioh. 11, 44
νόμωι, καὶ σιγῶ ἥλιον ὑπὸ δέους κρυπτόμενον διὰ τὸ δεσποτικὸν πάθος, πέτρας ῥηγνυμένας, Mt. 27, 45. 51. 52
μνήματα ἀνοιγόμενα, καὶ εἰ μικρά σοι ταῦτα, αἰσχύνθητι τῶν ἐγερθέντων νεκρῶν τὴν
μαρτυρίαν, τῶν τοῦ ἅιδου πυλωρῶν τὸν τρόμον, τὸ τοῦ καταπετάσματος σχίσμα, τοῦ φωτὸς
τὴν μεταβολήν, τῆς ἡμέρας τὸ σκότος. καὶ ἐπὶ τούτοις ἅπασιν ἔμεινεν ἀκαμπὴς ὁ δείλαιος, ἀνουθέτητον ἔχων τῆς κακίας τὸν τρόπον. καὶ οὗτος μὲν ἐν τούτοις· ἡμεῖς δὲ
τοῖς θείοις νεύμασιν εἴκοντες προσκυνήσωμεν τὸν θεὸν λόγον τὸν καταξιώσαντα μετὰ
σαρκὸς πολιτεύσασθαι μεθ' ἡμῶν, οὐκ ἐκστάντα τῆς πατρικῆς οὐσίας, ὢν ἀπαύγασμα Hebr. 1, 3
τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως φέρων τε τὰ πάντα τῶι ῥήματι
τοῦ στόματος αὐτοῦ· αὐτῶι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

**71** = S 106 L III 1023

Ὁμιλία Θεοδότου ἐπισκόπου Ἀγκύρας λεχθεῖσα ἐν Ἐφέσωι πρὸς Νεστόριον ἐν [ἡμέραι] Ἰωάννηι τῶι εὐαγγελιστῆι M V 221 PG 77, 1385

1 Ὅπερ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρός, τοῦτο ταῖς ψυχαῖς ἱερεύς. ἐπειδὴ γὰρ νόσημα ψυχῶν ἐστιν ἡ πλάνη καὶ χρονίζουσα θάνατον τὸν τῆς τιμωρίας ἐπήγαγεν, ὠικονόμησεν ἡ τοῦ πνεύματος χάρις ἰατρείαν ψυχῶν τὴν ἱερωσύνην τὴν ἁγίαν, καὶ τὸ προληφθὲν τῶι πάθει μέλος ἐξέκοψεν, οὐκ ἐκείνου ἀφειδῶν, ἀλλὰ τῶν λοιπῶν μελῶν φειδόμενος. ἐπειδὴ γὰρ τὸ συνεχὲς τῆς πίστεως τῆς σαθρᾶς μετάδοσιν εἰργάζετο τῆς κακίας, ἐκτέμνει τὸ μέλος, ἵν' ἐπιτέμηι τὴν κακίαν, καὶ ἔστι τὸ εἶδος τοῦτο οὐκ ὠμότης, ἀλλὰ θεραπεία. δακρύων μὲν γὰρ ὁ ἰατρὸς ἐκτέμνει τὸ μέλος, ἀλλ' ἡ φειδὼ τὴν τμῆσιν θεραπείαν εἰργάσατο. ἀρχαῖον τοῦτο τῆς θεραπείας τὸ εἶδός ἐστι καὶ ἄνωθεν· οὕτως οἱ ἅγιοι ἐπεμελήθησαν τῆς πανσέπτου ταύτης ἐκκλησίας. ἔχει γὰρ ὁ ἱερεὺς καὶ ξίφος, οὐχ ἵνα κακώσηι, ἀλλ' ἵνα θεραπεύσηι. καὶ τοῦτο δηλοῦσα ἄνωθεν ἡ χάρις πρώτωι τῶι Ἱερεμίαι ἐμήνυσε λέγουσα·
καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας ἐκριζοῦν καὶ κατα- Ier. 1, 10
σκάπτειν καὶ ἀπολλύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν. οὐ φυτεύεται

---

VM, P [= hk], S, D [= mn], AW(Λ[tc])

1—15 σὺ γὰρ — τρόπον om. M 1 σὺ] οὐ V σαλεύσασ P 2 τῆς — παρουσίας om. W τῆς — μονογενοῦς om. (Λ[tc]) 3 ὡς καὶ] ὥστε SD 5 τε] γε W om. P 6 γενομένην VA om. PSDW 7 ἤδη om. W μὲν ἔνσαρκοσ PSDW 13 σχῆμα D 15 ἔχον P 16 τοῖς om. W 17 ὄντα V 18 χαρακτῆρα V φέροντά V 19 αὐτῶι — ἀμὴν om. V

VM, P [= hk], S, D [= mn], W

21 οα V ξβ P ρβ' D θεοδότου — ἀγκύρων [ἀγκύρασ S] ὁμιλία [om. SW] VMSW ἐπισκόπου om. D 21/22 πρὸς — εὐαγγελιστῆι om. VMPSW, ἡμέρα ιω τοῦ εὐαγγελιστοῦ D, emendani cl. p. 94, 23 23 ἱερεὺσ ταῖσ ψυχαῖσ τοῦτο S 24 ἐστιν om. P ἐπῆγεν D ἐπάγει W 25 θεραπείαν D προσληφθὲν VDW 27 ἐπεὶ SW τῆσ σαθρᾶσ πίστεωσ M πίστεωσ (M) PSW φύσεωσ V σίψεωσ D ἐργάζετο V ἐργάζεται S τῆς om. V 28/29 ἵν' — μέλος om. V 28 ὠμότητοσ M 29 ἡ φειδὼ MPSW ἀφειδῶν VD τὴν τμῆσιν om. W spatio rel. 30 τὸ om. P 31 πανσέμνου VMW 32 πρῶτον D 33 καθέστακά MS καθέστηκά W κατέστησά VPD ἐπὶ[2] om. VMP βασιλείαν S βασιλεῖσ P ἀνεκριζοῦν D 34 φυτεύειν W

L III 1026 γὰρ εὐσέβεια μὴ ἐκκοπείσης κακίας. εὔλογον μὲν πρῶτον ἀρδεύειν, ἐπιμελείαι γεωργικῆι
χρῆσθαι, λόγους προσάγειν εὐσεβείας, ἐπιμέλειαν παντοίαν προσφέρειν τῶι μέλει· εἰ δὲ ἡ
κακία κρείττων γένοιτο τῆς ἐπιμελείας, ἡ ἐκκοπὴ ἴαμα τῶν οὕτως διακειμένων ἐστίν. πῶς
γὰρ ἄν τις ἐπιμελήσαιτο τῶν οὕτως διακειμένων, τῶν ὀνειδιζόντων θεῶι τὰ ἀνθρώπινα
2 καὶ τὴν χάριν ἐν μέρει ὀνείδους ποιουμένων; τί λέγεις, εἰπέ. θεόν, φησίν, οὐ λέγω
πεπονθέναι. εἰ μὲν πρὸς τὴν φύσιν βλέπεις, καλῶς ὁρᾶις· εἰ δὲ παντελῶς ἀναιρεῖς τὸ
πάθος, ἀρνῆι τὴν οἰκονομίαν. μὴ γὰρ ὀνειδίσηις θεῶι παθόντι, ἀλλὰ τῶν παθημάτων
βλέπε τὰ κατορθώματα. εἰς εὐτέλειαν κατέβη θεός, οὐ μειωθεὶς τὴν φύσιν, ἀλλὰ τὴν
PG 1388 χάριν δωρούμενος. ἔμεινεν ὃ ἦν, προσέλαβεν ὃ οὐκ ἦν· ἔμεινε θεὸς διὰ τὴν ἑαυτοῦ
φύσιν, γέγονεν ὅπερ σύ, διὰ τὴν περὶ σὲ φιλανθρωπίαν. μὴ οὖν τὸ εἶδος τῆς ἐπιμελείας
ὕβριν νομίσηις· μὴ ὀνειδίσηις τῶι ἰατρῶι, εἰ καὶ ἐν εὐτελείαι σώματος τὴν ὑγείαν εἰργάζετο.
οὐ γὰρ ὕβρις ἐστὶν ἡ εὐτέλεια, ἀλλὰ δεῖγμα φιλανθρωπίας. κατέβη πρὸς σέ, οὐχ ἵνα
μείνηι κάτω, ἀλλ' ἵνα σὲ πρὸς ἑαυτὸν ἀναγάγηι. μὴ ἀρνήσηι τὴν κατάβασιν, ἵνα μὴ
MV 224 ἀπολέσηις τὴν ἀνάβασιν. δέξαι τὴν ὕβριν τὴν σοὶ δόξαν γεννήσασαν. οὐχ ὕβρισται
φύσις, ἀλλ' ἡ χάρις δωρεῖταί σοι τὰ ἀγαθά. διὰ σὲ τὸν ὑβρισμένον οἰκέτην ὁ δεσπό-
3 της ὑβρίζεται· τὰ σὰ ἀνέλαβεν, ἐπειδὴ σὺ τὰ ἐκείνου κατέλιπες. ἀπεδράσαμεν ἡμεῖς
ἀγαθοῦ δεσπότου· οὐκ ἠνέγκαμεν τὴν παρὰ τοῦ δεσπότου δεδομένην χάριν· πρόχρεων τὴν
ἀπόλαυσιν τοῦ παραδείσου ἐλάβομεν· τὸν νόμον παρετρώσαμεν· τὸν νομοθέτην παρέβημεν· τῶι
ἐχθρῶι ἐπείσθημεν· ἐξεπέσαμεν τῆς τιμῆς. εἰς τὸν περίγειον τόπον τοῦτον ὁ δραπέτης διῆγεν·
οὐκ ἀνένευσε πρὸς τὸν δεσπότην· ἡ ἡδονὴ κάτω κατεῖχε τὸν φυγάδα· ἡ ἁμαρτία δεσμώτην εἶχε
τὸν δραπέτην· ἀπέγνω τῆς ἡμῶν διανοίας ὡς οὐ δυναμένης ἀνανεῦσαι πρὸς θεόν. τί οὖν;
ἡ ἐμὴ βραδυτὴς ζημιώσει θεὸν τὸ κάλλιστον κτῆμα, τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἠνέσχετο
τοῦτο ὁ τῶν ὅλων θεός· οὐδὲ γὰρ ἔδει φθόνον κρατεῖν δεσποτικῆς χάριτος οὐδὲ τὴν τοῦ
θεοῦ δωρεὰν ἔδει νικᾶσθαι ὑπὸ τῆς ἐπιβουλῆς τοῦ διαβόλου. τί οὖν ὁ δεσπότης ποιεῖ;
παραγίνεται πρὸς τὸν δραπέτην· ὁ γὰρ δοῦλος πρὸς ἐκεῖνον ἰέναι οὐκ ἠδύνατο. παρα-
γίνεται πρὸς τὸν οἰκέτην, οὐκ ἐν ἀξιώματι δεσποτικῶι, οὐκ ἀγγέλων δορυφορίαν προαπο-
στέλλων, οὐκ ἀρχαγγέλων κινῶν φάλαγγας, οὐ πῦρ κινῶν, οὐ στοιχεῖα σαλεύων· τοῦτο
γὰρ ἦν φυγάδα ποιῆσαι τὸν δραπέτην· ἀλλὰ παραγίνεται ἀγρεῦσαι τὸν φυγάδα βουλόμενος,
κατασχεῖν τὸ ἴδιον κτῆμα θέλων. οὐ σοβεῖ τῶι φαινομένωι, ἀλλὰ πρὸς ὁμιλίαν ἐκκαλεῖται τῆι
4 εὐτελείαι τοῦ προσώπου. γίνεται σύνδουλος, ἵνα ἀναδειχθῆι δεσπότης. διὰ τοῦτο γὰρ καὶ ὁ
Phil. 2, 5 μέγας ἀπόστολος ἔλεγεν· τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι
Ἰησοῦ. Ἰησοῦν ἐνταῦθα λέγει· εἰπὲ τίνα; ἡ μήτηρ ἔθετο τὴν προσηγορίαν τῶι βρέφει·
Lc. 1, 31 L III 1027 καλέσεις γὰρ τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. ποῦ ὁ διαιρῶν τὸν Χριστόν; ποῦ ὁ τὸ
μυστήριον ἡμῶν ὁμωνυμίαν ἐργασάμενος καὶ Χριστὸν μὲν ἕνα λέγων, δύο δὲ ὑποτιθέμενος,
τὸν μὲν δοῦλον, τὸν δὲ δεσπότην, τὸν μὲν πάσχοντα, τὸν δὲ μὴ πάσχοντα; τίς ὄνησις τῆς

---

33—p. 73, 1 flor. R I 7 ποῦ ὁ διαιρῶν — πραγμάτων = Timoth. arm. p. 104 syr. f. 10a

---

VM, P [= hk], S, D [= mn], W

1 μὲν πρῶτον V μὲν γὰρ πρῶτον MPW πρῶτον μὲν SD ἐπιμελείασ γεωργικῆσ S ἐπιμελεία λογικῆ W 2 κεχρῆσθαι W 3 γένηται D τὸ ἴαμα D ἴαμα ἐστὶ S 4 ἐπιμελήσοιτο P 5 εἰπὲ VPD ἐπεὶ MSW θῦ S 6/7 τὸ παθεῖν D 9 εἰ καὶ προσέλαβεν P 11 καὶ om. VD ὑγίειαν V εἰργάσατο VD 14 ἄνοδον D 15 τὰ om. P 17 δεχομένην S διδομένην P πρόχρεων SW πρὸσ χρείαν VMPD 18 ἀπόδοσιν W 19 ἐξεπέσομεν VMS τοῦτον τόπον W 20 ἀνένευε D 20/21 τὸν δεσπότην — πρὸς om. M δεσπότην — ἁμαρτία om. P δεσπότην D ἔσχε VPS 21 τὸν θν̄ SD 22 βραχύτησ SW 23 τούτων VMPS οὐδὲ[1]] οὐ D 25 ἰέναι πρὸσ ἐκεῖνον P 27 τὰσ φάλαγγασ D 29 ἐγκαλεῖται S 30 ἀναδειχθῆσ VM ὡσ δεσπότησ W ἡ δεσποτεία SD καὶ om. P 31 ἀπόστολος] παῦλοσ P φρονείσθω VD ἕκαστος om. D 33 γάρ φησι D αὐτοῦ om. P 34 μυστήριον] ὄνομα αὐτοῦ P μὲν om. W 35 μὲν[2]] δὲ S τίσ ἡ SD flor.

μιᾶς προσηγορίας, δύο κειμένων πραγμάτων; τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν Phil. 2, 5 ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ. Ἰησοῦν λέγει τοῦτον τὸν ὁρώμενον ὃν οὕτως ἐκάλεσεν PG 1389 ἡ παρθένος. τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ. τί γὰρ ἐφρονήσαμεν ἐν Χριστῶι Ἰησοῦ; ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγ- Phil. 2, 6 μὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι. τί ἐστι τὸ λεγόμενον; ὁ ἐξ ἁρπαγῆς ἐλευθερίαν λαβὼν οὐδὲν δουλικὸν ὑπομένει, ἵνα μὴ πρόκριμα τῆι ἐλευθερίαι ποιήσηι. τί οὖν αὐτός; ἐπειδὴ τῆι φύσει δεσπότης ἦν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι· τὸ γὰρ τῆς οἰκονομίας οὐδὲν ἔβλαψε τὴν θεότητα. ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ Phil. 2, 6. 7 ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν. εἰπέ μοι τὴν τοῦ μονογενοῦς κένωσιν. εἰ μὴ τὰ ἀνθρώπινα πέπονθε, ποῦ ἐκενώθη; ὅταν δὲ λέγω πεπονθέναι θεόν, φυλάττων τὴν φύσιν ἀπαθῆ λέγω· πάθος γὰρ περιῆψε θεῶι οὐ φύσις παθητή, ἀλλ' ἡ πρὸς τὸ παθητὸν ἕνωσις. ἐπειδὴ γὰρ ὁ φιλάνθρωπος δεσπότης συμπαθῆσαι προέθετο τῶι οἰκέτηι, εἶχε δὲ τὴν φύσιν ἀπαθῆ, ἑνώσας ἑαυτῶι τὸ παθητὸν τὸν M V 225 σκοπὸν ἀνεπλήρωσεν. οὕτως παραγέγονεν ὁ δεσπότης, οὕτως ἐπέστη τῶι φυγάδι, ὡς σύνδουλος φαινόμενος καὶ ὡς δεσπότης εὐεργετῶν, μορφὴν δούλου δεικνὺς καὶ χάριν δεσπότου χαριζόμενος, πεινῶν ὡς δοῦλος καὶ ἄρτους πηγάζων ὡς θεός, κοπιῶν ὡς ἄνθρωπος καὶ ἐπὶ νώτου θαλάσσης βαδίζων ὡς θεός, ὑποστελλόμενος τὸν σταυρὸν ὡς ἄνθρωπος. καὶ γὰρ τοῖς πάθεσιν ἐπιστοῦτο τὸ φαινόμενον καὶ τοῖς θαύμασιν ἐδείκνυ τὸν κρυπτόμενον. οὕτως φανεὶς ὡς ἄνθρωπος ἡμᾶς ἅπαντας εἰς τὴν οἰκειότητα συνήγαγεν. Ἰωάννην ἡμῖν διδάσκαλον ἐπέστησε, τὸν υἱὸν τῆς βροντῆς, τὸν χαρισάμενον τῆιδε τῆι μητροπόλει τὸ κοινὸν τῆς οἰκουμένης κειμήλιον, τὸν ἐν ἑνὶ στίχωι πᾶσαν ἐκθέμενον τὴν εὐσέβειαν· ὁ λόγος γάρ φησιν, σὰρξ ἐγένετο. ὁ ὢν ἐγένετο σάρξ, ὢν μὲν διὰ τὴν φύσιν, Ioh. 1, 14 ἐγένετο δὲ διὰ τὴν οἰκονομίαν· δι' οὗ καὶ μεθ' οὗ τῶι πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῶι ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

**72** = S 107 A 144. Latina uersio extat in Collectione CT 57

L III 1007
M V 204
PG 77, 1369

Θεοδότου ἐπισκόπου Ἀγκύρας εἰς τὴν γένναν τοῦ σωτῆρος ἀναγνωσθεῖσα ἐν τῆι συνόδωι ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου

1 Λαμπρὰ τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις καὶ κοινὴν σωτηρίαν τοῖς ἀνθρώποις κομίζουσα, λαμπρὸς δὲ καὶ ὁ παρὼν σύλλογος, εὐχαρίστως τὴν χάριν ὑποδεχόμενος. καὶ δέδοται δαψιλὴς ἡ χάρις τοῖς μετ' εὐχαριστίας αὐτὴν ὑποδεχομένοις· τοσοῦτον γὰρ τὸ μέτρον τῆς δωρεᾶς παρέχεται ὅσον τὸ μέγεθος τῆς εὐχαριστίας ἐστὶ τῶν κομιζομένων τὴν χάριν, ὡς ὅταν λαβὼν δωρεὰν εὐχαριστήις τῶι δεδωκότι, οὐκ ἀντέδωκας ὑπὲρ ὧν ἔλαβες,

---

28 ἀναγκαῖος λόγος πάνυ $P^{mg}$

---

VM, P [= hk], S, D [= mn], W

1 φρονείσθω PD ἕκαστος om. D 2/3 Ἰησοῦν — Ἰησοῦ om. VW 3 ἕκαστοσ ὑμῖν S 6 μὴ — ἐλευθερίαι] spatium κριτῆ ἐλευθερίαν P τῆσ ἐλευθερίασ SW, corr. S 7 ἡγήσατο ἴσα εἶναι S θῶ ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν MP 7-9 τὸ γὰρ — ἴσα θεῶι om. M 8 οὐκ SD 8/9 ὃς — θεῶι om. W 9 ἀλλ — ἐκένωσεν om. P ἐκένωσε μορφὴν δούλου λαβὼν MSDW 13 προσέθετο DW 14 φυγαδία S 16/17 κοπιῶν — θεός om. S 17 θαλάττησ V 18 ἐδείκνυε D τὸ VD 19 ὡς om. SD πάντασ W 20 διδάσκαλον ἡμῖν SD κεχαρισμένον VD 21 ἐν om. D 22 γάρ om. VPS ὁ ὢν — σάρξ om. MPSW 23 καὶ τὸ κράτος om. S 23/24 σὺν — πνεύματι om. MPW 24 τῶ om. S νῦν καὶ ἀεὶ καὶ εἰσ τοὺσ αἰῶνασ D

VM, P [= hk], S, D [= mn], AWΛ'Λ$^c$

25 οβ V ργ' D 26 ὁμιλία θεοδότου — ἀγκύρασ Λ τοῦ αὐτοῦ θεοδότου — ἀγκύρασ P τοῦ αὐτοῦ MW 26/27 ὡραῖοσ λόγοσ πάνυ ἀναγνωσθεὶσ — κυρίλλου εἰσ τὴν γέννησιν τοῦ σρσ V 26 ὁμιλία εἰσ P ἀναγνωσθεῖσαν S ἀναγνωσθεὶσ W 30 καὶ] *quoniam* Λ δαψιλῶσ V 31 ἐστι τῆσ εὐχαριστίασ MW κομιζόντων W 32 ἀντιδέδωκασ DW ἀντιδέδωκεν S

μόνον, ἀλλὰ καὶ ὀφειλέτην σοι πλείονων τὸν δοτῆρα πεποίηκας. εὐχαρίστως οὖν προσ-
δέξασθε τὴν χάριν, λαμπρὰν ἡμῖν ταύτην τὴν πανήγυριν ἐπιδείξαντες. ὑπόθεσις δὲ τῆς
ἑορτῆς ἐμφάνεια θεοῦ πρὸς ἀνθρώπους ἐστίν, ἐπιδημία τοῦ ἀεὶ παρόντος, ἐπιστασία τοῦ
Ioh. 1, 11 πάντα πληροῦντος, ἐποψία τοῦ πάντα ὁρῶντος. εἰς τὰ ἴδια ἦλθε, φησί, καὶ οἱ
Ioh. 1, 10 ἴδιοι αὐτὸν οὐ παρέλαβον, μᾶλλον δὲ ἐν τῶι κόσμωι ἦν καὶ ὁ κόσμος δι'
αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. ἀλλ' οὐ τῆς τῶν ἀνθρώπων
κατηγορίας ἡ ἄγνοια αὕτη. διὰ γὰρ θειότητα φύσεως ἀνέφικτος λογισμοῖς ἀνθρωπίνοις
ἐστὶν ὁ θεός· οὐ πέφυκε γὰρ νοῦς ἀνθρώπων αὐτὸν καθορᾶν. διαδιδράσκει τῶν ἀν-
θρώπων τὸν νοῦν ἡ θεία φύσις· ὑψηλοτέρα τῶν ἡμετέρων ἐστὶ λογισμῶν. Ζημιούμεθα
M V 205 οὖν ἐξ ἀμείνονος φύσεως θεογνωσίαν, ὅπερ ἵνα μὴ γένηται, ἀναλαμβάνει φύσιν ὁρωμένην
ὁ ἀόρατος, δέχεται σῶμα ψηλαφώμενον ὁ ἀφῆι μὴ κρατούμενος. ὁ ἀόρατος θεὸς ὁρώ-
μενος γίνεται· ὁ λόγος ψηλαφᾶται· ὁ μονογενὴς τοῦ θεοῦ παῖς συγγενὴς τῶν δούλων
γίνεται, ἵνα μὴ διαλάθηι τὴν γνῶσιν τῶν ἀνθρώπων ἡ ὑπερβαίνουσα τὸν ἄνθρωπον φύσις.
2 καὶ μὴ νομίσῃς ἀλλότριον θεοῦ τὸν υἱὸν γεγενημένον. πάλαι γὰρ ἡ θεοῦ παρουσία προ-
εμελετᾶτο, τοῖς τύποις ἀεὶ τοῖς ἀνθρωπίνοις ἐγνώσθη φαινόμενος, ὕλαις κεχρημένος ὁρᾶσθαι
παρ' ἡμῶν δυναμέναις.
Ἐπεὶ παρίτω Ἰουδαῖος εἰς μέσον· παρίτω ὁ διαπιστῶν τῆι τοῦ θεοῦ ἐμφανείαι
PG 1372 φανείσηι τοῖς ἀνθρώποις ἐν ἀνθρώπου φύσει. λεγέτω μοι, πῶς Μωυσῆς εἶδε θεόν; τὴν
φύσιν εἶδε τὴν ἀόρατον; οὐδαμῶς. ἀνέφικτος γὰρ αὕτη λογισμοῖς ἀνθρωπίνοις. πῶς
Exod. 3, 2 δὲ εἶδεν; εἰπέ· ἐκ τῆς βάτου ἀναπτόμενον πῦρ καὶ τὴν βάτον οὐ φθεῖρον. διὰ τί οὖν
ἀπιστεῖς τῶι ἐκ παρθένου γεγεννημένωι καὶ τὴν παρθενίαν μὴ φθείραντι; ἢ σὺ μὲν ἀκούων
Exod. 3, 6 ὅτι ἐκ βάτου φθέγγεται θεὸς καὶ λέγει Μωυσῆι ἐγώ ὁ θεὸς Ἀβραάμ καὶ ὁ θεὸς
Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακὼβ καὶ ὅτι πεσὼν Μωυσῆς προσκυνεῖ, πιστεύεις, οὐ λογιζόμενος
τὸ πῦρ τὸ ὁρώμενον, ἀλλὰ θεὸν τὸν φθεγγόμενον· ὅταν δὲ μήτρας παρθενικῆς μνημονεύσω,
βδελύσσηι καὶ ἀποστρέφηι; τί γὰρ εὐτελέστερον, εἰπέ, βάτος ἢ μήτρα παρθενικὴ καθαρὰ
L III 1010 τῶν ἁμαρτίας παθῶν; οὐκ οἶδας ὅτι τὰ ἀρχαῖα μελέτη τῶν νεωτέρων καὶ τῶν νῦν γενο-
μένων ἐστί; τὰ γὰρ μυστήρια προτυποῦνται διὰ τῶν παλαιῶν. διὰ τοῦτο βάτος ἀνάπτεται,
πῦρ φαίνεται καὶ τὰ πυρὸς οὐκ ἐνεργεῖ οὔτε μὴν κολάζει. ἆρα ἐν τῆι βάτωι οὐχ ὁρᾶις
τὴν παρθένον; ἆρα ἐν τῶι πυρὶ οὐ βλέπεις φιλανθρωπίαν τοῦ παραγενομένου; ὁ κριτὴς ἐν
τοῖς κρινομένοις, καὶ κρίσις οὐ γίνεται· ὁ δικαστὴς ἐν τοῖς καταδίκοις, καὶ οὐδαμοῦ τιμωρία·
ὁ κριτὴς ἐπέστη, ἀλλ' οὐ κρίνων ἀλλὰ διδάσκων, οὐ καταδικάζων ἀλλ' ἰατρεύων. ὁρᾶις
πῶς ἐκεῖνο τὸ ἥμερον πῦρ τὴν ὧδε φιλανθρωπίαν ἐμήνυσε; μὴ θαυμάσῃς εἰ διὰ μήτρας

---

20—p. 75, 6 Timoth. arm. p. 112

---

VM, P [= hk], S, D [= mn], AWΛ[t]Λ[c]

4 ἐποψία — ὁρῶντος ἐπιστασία — πληροῦντος Λ  πάντα[1]] τά, superscr. πάντα V  5 δὲ] *autem ait* Λ  τῶι om. P  6 ἀνθρώπων] ὅλων SD  8 καθορᾶν αὐτὸν SD *conspicere deum* Λ  8/9 τὸν νοῦν τῶν ἀνθρώπων SD  9 ἡ φύσισ ἡ θεία M  10 φύσιν om. P  12 συγγενεῖσ S  13 μὴ om. S  γνῶσισ τὴν φύσιν SD  ἡ om. SD  φύσις om. SD  14 του θῦ VD  τὸν υἱὸν] τὸ Λ  γεγονέναι W  14/15 προσεμελετᾶτο W  15 καὶ τοῖσ τύποισ D  τύποισ τοῖσ — ἐγνώσθη ἀεὶ W  ἀνθρώποις Λ  φαινόμενον S  17 παρίτω MSDAW *assit* Λ ἐλθέτω V φανήτω P  ἐμφανείαι] *naturae* Λ  19 ἀνθρώποισ S  20 εἶδεν εἰπὲ MPSDWA εἶδεν εἶδεν V εἶδεν Λ  οὐ φθεῖρον] μὴ κᾶον D *non consumi* Λ  21 γεγενημένω VPS, corr. S  παρθένον PSDAW  22 καὶ[2]] καὶ ἐγὼ SD  23 μωσῆσ V  24 φεγγόμενον A  δὲ om. SD  25 ἀποστρέφει S  26 τῆσ ἁμαρτίασ SD ἁμαρτιῶν W  παθῶν] πασῶν W  26/27 γινομένων SDΛ  27 προτυποῦντα P  28 καὶ πῦρ P  μὴν om. VMPA, locus decurtatus, cf. Λ *inluminat, non corrumpit*; *splendificat, non incendit*; *beneficium præstat, non punit*, item Tim.  29 τὴν φιλανθρωπίαν V  30 ἀδίκοισ W δικαίοισ SD  31 ἀλλ' οὐ κρίνων MSDAW Tim. οὐ κρίνων VPΛ  διδάσκων] δικάζων D  32 πῆ S  ἥμερον VMPSAW Tim. μυστήριον D *antiquus* Λ

παρθενικῆς θεὸς ὢν τίκτεται· οὐδὲν γὰρ ὕβριν ἡγεῖται θεὸς ὃ πρόξενον σωτηρίας ἀνθρώ-
ποις ἐστίν. σὺ δέ μοι μὴ οὕτως εὐτελῆ τὴν τοῦ θεοῦ φύσιν ὑπολάβηις, ὥς καὶ ἐ-
φικτὴν ὕβρεσι γενέσθαι ποτέ. οὐδὲν γὰρ ὢν εἵλετο δι' ἡμᾶς εὐτελῶν, ὑβρίζει τὴν φύσιν
ἐκείνην, οἰκειοῦται δὲ τὰ ἐλάττονα, ἵνα σώσηι τὴν φύσιν τὴν ἡμετέραν. ὅταν οὖν τὰ
μὲν εὐτελῆ τὴν τοῦ μακαρίου θεοῦ φύσιν μὴ ὑβρίζηι σωτηρίαν τε ἀνθρώποις ἐργάζηται,
3 πῶς ἐρεῖς τὰ αἴτια τῆς ἡμῶν σωτηρίας ὕβρεως πρόξενα θεῶι γεγονέναι; ὤφθη τοίνυν
θεὸς σήμερον διὰ παρθένου καὶ ἡ παρθένος ἔμεινε παρθένος καὶ μήτηρ ἐγένετο. ὁ γὰρ
ἀφθαρσίας πρόξενος φθορὰν οὐκ ἐργάζεται· ὁ ποιητὴς ἀθανασίας οὐδὲν διέφθειρεν.
Ἐπειδὴ δὲ καὶ Φωτεινὸς ψιλὸν ἄνθρωπον λέγει τὸν γεγεννημένον, θεοῦ μὴ λέγων
εἶναι τὸν τόκον, καὶ τὸν ἐκ μήτρας προελθόντα ἄνθρωπον ὑποτίθεται διῃρημένον θεοῦ, M V 208
λεγέτω μοι νῦν πῶς φύσις ἀνθρωπίνη διὰ μήτρας παρθενικῆς τικτομένη τὴν παρθενίαν
τῆς μητρὸς ἐφύλαξεν ἄφθορον. οὐδενὸς γὰρ ἀνθρώπου μήτηρ παρθένος μεμένηκεν.
ὁρᾶις πῶς διττὴν ἔννοιαν περὶ τοῦ τεχθέντος παρέχει μοι τὸ γεγενημένον; εἰ μὲν
γὰρ καθ' ἡμᾶς ἐτέχθη, ἄνθρωπος ἦν· εἰ δὲ τὴν μητέρα παρθένον ἐφύλαξε, θεὸς ὁ PG 1373
τεχθεὶς τοῖς εὖ φρονοῦσι γνωρίζεται. θεὸς γὰρ ἐπεδήμησε τῶι κόσμωι, οὐ τόπον ἐκ
τόπου μεταβάς, ἀλλὰ φύσιν περιθέμενος τὴν ἐμὴν καί, ὡς εἶπον, ὀφθῆναι θελήσας ὁ τὴν
φύσιν ἀόρατος, ὥστε οὐκ ἔσχεν ἀρχὴν τοῦ εἶναι θεὸς ἐκ τοῦ τόκου, ἀλλὰ τοῦ φανῆναι
ἀνθρώποις. ἐπειδὴ γὰρ θεὸς ἦν, ἄνθρωπος γενέσθαι προείλετο διὰ φιλανθρωπίαν τὴν
περὶ ἡμᾶς, ἵνα ἡμεῖς τὸν κριτὴν ὡς συγγενῆ περιπτυξώμεθα, ἵνα ἔχωμεν θαρρεῖν οἱ ἐξ
οἰκείων κατορθωμάτων παρρησίαν οὐκ ἔχοντες. ἐπὶ γὰρ τοῦ βήματος ἀχθέντες οἱ ἐξ
οἰκείων ἀρετῶν μὴ παρρησιαζόμενοι ὡς ἐκ συγγενοῦς ἰδίου καρποῦνται τὴν παρρησίαν.
τί οὖν; ἐπιδημεῖ θεὸς ὡς ἄνθρωπος, οὐ τόπον ἐκ τόπου ἀμείβων, ἀλλὰ τὴν ἀόρατον φύσιν
ἐπιδεικνὺς ὁρατὴν καὶ ὀφθεὶς ὡς ἄνθρωπος καὶ συγγενὴς ἀνθρώποις φανείς, καθὼς καὶ ὁ
εὐαγγελιστὴς ἀνακηρύττει λέγων ὅτι ὁ λόγος σὰρξ ἐγένετο. Ioh. 1, 14
4 Καὶ πῶς, φησίν, ὁ λόγος σὰρξ ἐγένετο; πῶς δυνατὸν τὸν θεὸν λόγον γενέσθαι
ἄνθρωπον; ἐρωτᾶις τὸν τρόπον τῶν τοῦ θεοῦ θαυμάτων; εἰ ἐφικτὸν ἦν ἡμῖν τὸ ἀκα- L III 1011
τάληπτον τοῦ λόγου, οὐκ ἦν θαῦμα, ἀλλὰ κατὰ φύσιν πρᾶγμα· εἰ δὲ θαῦμα καὶ σημεῖον
τὸ γεγενημένον, παραχώρει τὸν λόγον τῶι θαυματουργοῦντι δεσπότηι. ὅτι γὰρ ἐγένετο,
γνῶναί σε βούλομαι καὶ τὸ ἐκ τοῦ γενομένου κέρδος τῆι πίστει καρπώσασθαι· πῶς δὲ
γέγονε, τῶι ἐνεργοῦντι παραχώρει. ἢ σὺ τῶι μὲν ἰατρῶι πιστεύεις προστάττοντι καὶ
οὐ περιεργάζηι τὸν τρόπον τῆς θεραπείας, πιστεύων τῆι τέχνηι τὴν σαυτοῦ σωτηρίαν, ἀλλ'

---

6—15 floril. R 1 10 ὤφθη — γνωρίζεται [= Tim. syr. f. 9u arm. p. 126]
18—30 ἐπειδὴ γὰρ — παραχώρει Tim. syr. l. c. arm. p. 119

---

VM, P [= hk], S, D [= mn], AWΛ'Λc
1 οὐδὲν MSDAΛ οὐδὲ VPW 1/2 ἐστὶ τῆσ ἀνθρωπίνησ V ἐστί Tim. 2 μοι om. SDΛ τὴν φύσιν τοῦ θῦ V καὶ om. D 3 γίνεσθαί D ποτέ om. P οὐδὲ VW 4 τὴν¹ om. M 5 τοῦ — θῦ τὴν V τοῦ — θῦ W μακαρίου om. Λ μὴ ὑβρίζηι] ἐνυβρίζη V δὲ DWΛ Tim. ἐργάζεται SW 6 τῶ θῶ V 7 τῆσ παρθένου D 8 ἀθανασίασ VMPAΛ flor. Tim. ἀφθαρσίασ SDW 9 γεγενημένον S θν̄ γεγενημένον W μὴ λέγων θῦ V 10 τὸν om. V καὶ τὸν] τὸν flor. Tim. arm. τὸν δὲ Tim. syr. ὑποτίθεται om. SD 11 ἡ φύσισ ἡ W 11/12 τὴν — μητρόσ flor. Tim. τὴν — μήτρασ VMPAΛ τῆσ παρθένου τὴν μήτραν SDW 12 ἐφύλαξαν S ἄφθορον flor. ἄφθαρτον VMPSDAW μήτηρ ἀνθρώπου M 13 περὶ τοῦ τεχθέντος om. W περιέχει floril. Tim. γεγεννημένον Λ flor. 14 καὶ ἦν Λ 16 καὶ ὡς εἶπον] ὡς εἰπεῖν Λ 17 τοῦ VMPSDA τῶ W 18 ἀνθρώποισ VPSDA ἄνθρωποσ WΛ ἄνθρωπον M ἦν] ὢν Λ Tim. 19 κριτὴν VMPAWΛ Tim. κτίστην SD 21 μὴ om. P 22 ὡς ἄνθρωπος] ὢν ἀνθρώποις Λ Tim. 23 ὡς ἄνθρωπος] ἀνθρώποις Tim. 24 ἀνακηρύττει] ὁρᾶται V 25 καὶ πῶς — ἐγένετο om. DWΛ ἐγένετο σὰρξ V 26 θαυμασίων W ἡμῖν ἦν MA ἦν V 27 τῶι λόγωι Λ 28 γὰρ ἐγένετο] παρεγένετο Tim. 29 καὶ τὸ — καρπώσασθαι om. M τῆι om. W 30 ἢ] εἰ Λ τῶ μὲν VMSWA μὲν τῶ DΛ τῶ P προστάττοντι πιστεύεις D προστάττεισ τί πιστεύεισ S

οὐδὲ ἄλλος τις ἄτεχνος ὢν τὸν τοῦ τεχνίτου περιεργάζεται τρόπον, ἀλλὰ γνωρίζει μὲν τὸ
γενόμενον, τὸν δὲ τρόπον τῆι τέχνηι παραχωρεῖ· σὺ δὲ πάντων τῶν ὑπὸ θεοῦ τεθαυμα-
τουργημένων τοὺς λόγους ἐπιζητεῖς ὡς χρήιζων τῶν λόγων, ἵνα τὰ αὐτὰ τῶι θεῶι θαυμα-
τουργήσηις καὶ σύ; ἀλλ' ὅπερ ἔλεγον, καὶ νῦν λέγω· πράγματος οὗ τὸν λόγον ἐπιγινώσκο-
μεν, τούτου ἡ φύσις οὐ θαῦμά ἐστιν οὐδὲ σημεῖον. τοιοῦτόν τί ἐστιν ὃ λέγω. οἰκο-
δόμος κτίζει οἶκον· τὸν λόγον γινώσκομεν, τὰς ὕλας συντεθείσας γνωρίζομεν, λέγειν τὸ
Ioh. 9, 1. 6 γεγενημένον δυνάμεθα, εἰ καὶ δι' ἀτεχνίαν ἐνεργεῖν οὐκ ἐσμὲν ἱκανοί. ἔπλασε τῶι ἐκ
γενετῆς τυφλῶι ὀφθαλμοὺς ὁ μονογενὴς ἐκ πηλοῦ· τοῦτο ὑπὲρ λόγον ἐστὶ τὸν ἡμέτερον·
θαῦμα καλεῖται λογισμοῖς ἀνθρώπων οὐκ ἐρευνώμενον· σημεῖον καλεῖται ὑπὲρ τὴν συνήθη
φύσιν γεγενημένον. καὶ ὅτι μὲν ἐγένετο, ἴσμεν, τὸν δὲ τρόπον λέγειν οὐκ ἔχομεν.
ἐκ πηλοῦ μὲν γὰρ κέραμος καὶ πλίνθος κατασκευάζεται, οὐκ ὀφθαλμῶν εὐγένεια πλάττεται,
οὐχ ὑμένες λεπτοὶ γίνονται, οὐχ ὁράσεως ποικιλία συνίσταται, οὐ περιφερείας ἀκρίβεια μετὰ
τοσαύτης εὐχροίας τορνεύεται. πηλὸς οὐ πέφυκεν εἰς ὀφθαλμῶν εὐγένειαν ἀνάγεσθαι.
M V 209 οὐκοῦν ὅπερ ἡ φύσις τῆς γῆς οὐκ ἐπιδέχεται, οὐ γὰρ πέφυκεν ἐπιδέχεσθαι ὀφθαλμοῦ τὴν
PG 1376 ἰδέαν, ταύτην ἐδέξατο τοῦ θαυματουργοῦντος πρὸς τὸ ἑαυτοῦ θέλημα τὴν φύσιν ἑλκύσαν-
τος, οὐκ αὐτοῦ δουλεύοντος τῶι λόγωι τῆς φύσεως. μηκέτι οὖν εἰς ἀσθένειαν ἀνθρωπί-
νης κατάπιπτε φύσεως μηδὲ λέγε· πῶς ἀνθρώπου φύσις ἐχώρησε τὸν θεόν; πῶς θεὸς
γέγονεν ἄνθρωπος; πῶς θεὸς λόγος σὰρξ ὁρωμένη γεγένηται; ἀλλ' ὅτι μὲν γέγονε, πίστευε,
5 τὸν δὲ τρόπον εἰδέναι δὸς τῶι πεποιηκότι. εἰ δὲ θέλεις καὶ ἐξ ὑποδείγματος σαφηνίσαι
τὸ προκείμενον, ἐγὼ δείξω σοι πῶς τὸ ἀσώματον σωματοῦται, τὸ ἀόρατον ὁρᾶται, τὸ
ἀψηλάφητον ψηλαφᾶται, οὐ τῆι οἰκείαι φύσει μεταβληθέν, ἀλλ' ἀναλαβὸν σχῆμα ὁρώμενον
καὶ ψηλαφώμενον. ὁ λόγος οὗτος ὁ προφορικός, ὁ τῶν ἀνθρώπων φημί, ὧι κεχρημένοι
ἀλλήλοις τε συγγινόμεθα καὶ τὰ ἐνθύμια ἀλλήλοις ἑρμηνεύομεν, λόγος ἐστὶν οὐχ ὁρώμενος,
ἀλλ' οὐδὲ χειρὶ ψηλαφώμενος, ἀκοῆι δὲ μόνον ἐνηχούμενος. ἀλλ' ἐπειδὰν τὸν προφορικὸν
λόγον ὑπόδειγμα τοῦ ἐνυποστάτου θεοῦ λόγου φέρω, μὴ νομίσηις με προφορικὸν λέγειν
τὸν θεὸν λόγον· ἄπαγε. λόγος γὰρ εἴρηται ὁ μονογενὴς ἑρμηνευούσης τῆς θείας γραφῆς
τὸ ἀπαθὲς αὐτοῦ τῆς γεννήσεως, ἐπειδὴ καὶ νοῦς ἀνθρώπων ἀπαθῶς τίκτει τὸν λόγον.
L III 1014 διὰ τοῦτο ὅπου μὲν υἱὸν αὐτὸν προσαγορεύει τοῦ πατρός, ὅπου δὲ λόγον ὀνομάζει, ἑτέρωθι
Hebr. 1, 3 ἀπαύγασμα καλεῖ ἡ θεία γραφή, ἕκαστον τούτων τῶν ὀνομάτων περὶ αὐτοῦ λέγουσα, ἵνα
νοῆις τὰ περὶ Χριστοῦ λεγόμενα βλασφημίας ἐκτός. ἄλλοτε γὰρ ἄλλαις περὶ αὐτοῦ
προσηγορίαις ἐχρήσατο, ἡρμοσμένην δόξηι θεοῦ τὴν διδασκαλίαν ποιήσασθαι θέλουσα.
6 οἷόν τί ἐστιν ὃ λέγω· υἱὸν καλεῖ τοῦ πατρὸς τὸν μονογενῆ, τὸ ὁμοούσιον παραστῆσαι τῆι
δόξηι θελήσασα. ἐπειδὴ γὰρ ὁ σὸς υἱὸς τῆς αὐτῆς σοι φύσεως γεγένηται, βουλόμενος
ὁ λόγος δεῖξαι μίαν οὐσίαν πατρὸς καὶ υἱοῦ λέγει υἱὸν τοῦ πατρὸς τὸν ἐξ αὐτοῦ γεγεννη-
μένον μονογενῆ. εἶτα ἐπειδὴ γέννησις καὶ υἱὸς ἐφ' ἡμῶν ἔμφασιν παρέχει τοῦ κατὰ

---

VM, P [= hk], S, D [= mn], AWΛ'Λ^c

1 ἀτεχνῶσ S ἀτεχνὴς W 2 γινόμενον W τῶν om. Λ τοῦ θῦ VMPW 3/4 θαυματουργῆσ V 5 τί om. DA 6 γνωρίζομεν] γινώσκομεν W 7 οὐ δυνάμεθα MSDWΛ', corr. M εἰ om. Λ' τὸ VSA. corr. A 7/8 ἐν γεννητοῖσ VMSDA μονογενὴσ VMPAWΛ μονογενὴσ τοῦ θῦ λόγοσ SD 10 γεγενημένον] *natiuitas* Λ 11 γὰρ om. V 12 ὑμέναισ P post γίνονται ins. *non pupillæ nobilis* [*nobilis* add. Λ^c] *decor* Λ 13 εὐχρείασ P ἀκριβείασ Λ^c τορεύεται W ἀνάγεσθαι εὐγένειαν V 14 οὐκ om. V 17/18 πῶσ δὲ θσ γέγονεν D πῶσ θσ λόγοσ γέγονεν W 20 καὶ τὸ ἀόρατον SDW 20/21 τὸ ἀψηλάφητον ψηλαφᾶται om. Λ 21 ἀναλαβὼν MPSuW, corr M 22 ὁ²] ἐκ SD ὁ τῶν ἀνθρώπων om. V 23 τε om. SDΛ συγγενόμεθα MS ἀλλήλουσ W 24 οὐ SD 26 γὰρ om. V 28 ποῦ — ποῦ W αὐτὸν om. V post πατρὸς coll. P λόγοσ V 32 τὸν om. VMP 32/33 παραστῆσαι τῆ δόξη MPSDA τῆ δόξη παραστῆσαι V *probare* Λ παραστῆσαι τῆς δόξησ W 33 σοι om. W γεγέννηται MD 34 μίαν οὐσίαν δεῖξαι V τοῦ πρσ W καὶ om. V 34/35 γεγεννημένον MhDAW γεγενημένον kS γεννηθέντα V 35 ἡμῖν V

τὴν γέννησιν πάθους, τοῦτον τὸν υἱὸν προσαγορεύει καὶ λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως τῶι ὀνόματι τούτωι δηλῶν. ἀλλ' ἐπειδὴ πατήρ τις γενόμενος ὡς ἄνθρωπος ὁμολογουμένως πρεσβύτερος τοῦ ἰδίου υἱοῦ ἐπιδείκνυται, παρεχούσης τῆς προσηγορίας αὐτῆς προεπινοεῖν τοῦ υἱοῦ τὸν πατέρα, ἵνα μὴ αὐτὸ καὶ ἐπὶ τῆς θείας φύσεως ὑπολάβηις, συνυπάρχοντα δὲ τὸν μονογενῆ τῶι πατρὶ νοήσηις διηνεκῶς, ἀπαύγασμα καλεῖ τὸν μονογενῆ τοῦ Hebr. 1, 3 πατρός. τὸ γὰρ ἀπαύγασμα τίκτεται μὲν ἐξ ἡλίου, οὐδαμῶς δὲ νοεῖται τοῦ ἡλίου μεταγενέστερον, ἀλλ' ἀφ' οὗπερ ἥλιος, ἐκ τότε καὶ τοῦ ἡλίου τικτόμενον τὸ ἀπαύγασμα νοοῦμεν. τὸ οὖν συνυπάρχειν ἀεὶ τῶι πατρὶ τὸν υἱὸν μηνυέτω σοι τὸ ἀπαύγασμα· τὸ ἀπαθὲς τῆς γεννήσεως δηλούτω ὁ λόγος· τὸ ὁμοούσιον ὁ υἱὸς γνωριζέτω. PG 1377

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον καὶ τοῦ σήμερον τεχθέντος θεοῦ λόγου δηλώσωμεν τὴν ἐμφάνειαν καὶ δι' ὑποδείγματος ἐπιδείξωμεν πῶς τὸ τῆι φύσει μὴ ὁρώμενον M V 212 ὁρώμενον γίνεται καὶ τὸ μὴ ψηλαφώμενον διὰ ἀσώματον φύσιν εὑρίσκεται ψηλαφώμενον. ὁ λόγος τοίνυν οὗτος ὃν προφέρομεν ⟨ὧι ἐν⟩ ταῖς πρὸς ἀλλήλους ὁμιλίαις [ὧιπερ] κεχρήμεθα, λόγος ἐστὶν ἀσώματος, οὐ τῆι ὄψει φαινόμενος, οὐχ ἀφῆι ψηλαφώμενος. ἀλλ' ἐπειδὰν ὁ λόγος ἐνδύσηται γράμματα καὶ στοιχεῖα, φαινόμενος γίνεται, ὄψει καταλαμβάνεται, ἀφῆι ψηλαφᾶται. ὑπόθου γάρ μοί τινα φθεγγόμενον πρός τινα· μὴ ὁ προιὼν ὁρᾶται λόγος; μὴ τῆι χειρὶ ψηλαφῶμεν τὸν προχεόμενον λόγον; ἐὰν δὲ ἃ εἶπεν, ἐν χάρτηι γράψηις, ὃ πρότερον οὐχ ἑώρας, ὕστερον ὁρᾶις καὶ ὅπερ οὐκ ἐψηλάφας πρότερον εἶδος τοῦ λόγου, τοῦτο διὰ τοῦ χάρτου ψηλαφᾶις καὶ τῶν γραμμάτων. τίνος ἕνεκεν; ὅτι ὁ ἀσώματος λόγος τὸ σῶμα τοῦ χάρτου καὶ τὸ σχῆμα τῶν στοιχείων ἐνδέδυται. οὐκοῦν ἐπειδὴ σαφὲς τὸ ὑπόδειγμα γέγονεν καὶ ὑπεμνήσθης τῶι ὑποδείγματι τῶι γινομένωι κατὰ συνήθειαν, φέρε δείξωμεν πῶς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ θεὸς λόγος ὁ προαιώνιος συνὼν τῶι πατρὶ ἀσώματος ὢν τὴν φύσιν ἀνθρώπου φύσιν οἰκειωσάμενος ὕστερον ἐτέχθη διὰ παρθένου, οὐκ ἀρχὴν λαβὼν τοῦ εἶναι θεός, ἀλλ' ἀρχὴν λαβὼν τοῦ φανῆναι ἄνθρωπος. μὴ γὰρ εἴπηις· ἐπειδὴ παρά τοῦ πατρὸς γεγέννηται ὁ μονογενής, πῶς ἐτέχθη πάλιν ἐκ παρθένου; ἐκ τοῦ πατρὸς γεγέννηται τῆι φύσει, ἐκ παρθένου γεγέννηται δι' οἰκονομίαν· ἐκεῖνο ὡς θεός, τοῦτο ὡς ἄνθρωπος. ἐπεὶ καὶ ὁ σὸς λόγος γέννημά ἐστι τῆς σῆς L III 1015 διανοίας, ἀλλ' ἐπειδὰν τὸν λόγον τοῦτον ὃν ἔτεκεν ὁ σὸς νοῦς, ἐνθεῖναι θελήσηις στοιχείοις καὶ γράμμασι καὶ ἐντυπῶσαι βουληθῆις τῶι χάρτηι, χειρὶ γράφεις τὰ γράμματα καὶ τρόπον τινὰ πάλιν διὰ τῆς χειρὸς τίκτεις τὸν λόγον, οὐ τότε λαβόντα τὴν ἀρχὴν τοῦ εἶναι, ὅτε διὰ χειρὸς ἐγράφη, οὐδὲ τότε προελθόντα εἰς τὸ εἶναι, ὅτε ἡ χεὶρ ἐνετύπου τὰ γράμματα, ἀλλ' ἐκ μὲν τοῦ νοῦ γεγέννηται, τοῦ δὲ φανῆναι τὴν ἀρχὴν ἐκ τῆς χειρὸς ὁ λόγος ἐδέξατο 8 τυπούσης τὰ γράμματα. ἐπεὶ οὖν τὸ ὑπόδειγμα σαφὲς καὶ ἡ εἰκὼν γνωριμωτάτη γεγένηται, φέρε τῶι πρωτοτύπωι ἐφαρμόσωμεν τὴν εἰκόνα. ὧδε νοῦς, ἐκεῖ νόει πατέρα· ὧδε λόγον ἐκ τοῦ νοῦ γινώσκεις τικτόμενον, ἐκεῖ λόγον οὐσιώδη καὶ ἐνυπόστατον νόει ἐκ τοῦ πατρὸς γεγεννημένον· ὧδε χεῖρα βλέπεις διὰ γραμμάτων τίκτουσαν λόγον, ἐκεῖ νόει παρθένον διὰ τοῦ σώματος τὸν λόγον ὠδίνουσαν, οὐχὶ τὴν ἀρχὴν θεότητι δοῦσαν διὰ τοῦ

VM, P [= hk], S, D [= mn], AWΛ$^t$Λ$^c$

2/3 πρεσβύτεροσ ὁμολογουμένωσ V 3 αὐτοῦ SD ταύτης Λ 3/4 προσεπινοεῖν D 5 νοήσεισ W 6 γὰρ om. W 6—8 μὲν — ἀπαύγασμα om. SDW, μὲν ὅτι τὸ ins. per corr. S 7 ὁ ἥλιοσ V 7/8 νοοῦμεν om. Λ 11 ἐμφάνειαν] εὐγένειαν V τῆι om. PSD 13 ὧι ἐν Λ$^c$ ὧι Λ$_t$ om. VMPSDAW ὧιπερ VMPSDAW om. Λ 14 οὐ τῆ ἀφῆ D 17 προερχόμενον P δὲ καὶ W om. D χάρτηι] ἀρχῆ M 18 ἑώρακασ M ὃ πρότερον οὐκ ἐψηλάφασ W ἐψηλάφησασ DA 19 καὶ τῶν γραμμάτων ψηλαφᾶσ P 19/20 ὁ — λόγος om. P 19 ὁ om. SDW 21 γενομένω SD 21/22 κατὰ συνήθειαν om. SD 22 σὺν SDW 24 ἀλλὰ SD 24/25 ἀρχήν — ἐπειδὴ om. SD 25 γεγένηται S 26 γεγέννηται, in mg. ἐτέχθη V γεγένηται S γεγέννηται VMPAWΛ γεννᾶται SD δι' VP διὰ τὴν MSDAW 28/29 καὶ στοιχείοισ καὶ V 29 γράμμασι] σχήμασι W 32 γεγένηται S 36 γεγενημένον S διὰ γραμμάτων βλέπεισ SD 37 διδοῦσαν SD τὸν P

τόκου, μὴ γένοιτο, ἀλλὰ τὸ φανῆναι θεὸν ἀνθρώποις γενόμενον ἄνθρωπον. ἐπειδὴ γὰρ
ἐγένετο ὅπερ ἐγώ, ἀναγκαίως ἐτέχθη καθάπερ ἐγώ, μετὰ τῆς φύσεως τῆς ἐμῆς καὶ τὸν
PG 1380 ἐμὸν τόκον ἀναγκαίως αἱρούμενος. διὰ τοῦτο καὶ γέννησιν ᾠκειώσατο ὁ θεὸς λόγος
καὶ μητέρα ἠσπάσατο τὴν παρθένον καὶ διὰ μήτρας ἦλθε κοσμουμένης τῆι παρθενίαι.
οὐδὲν γὰρ ὧν ἔπλασεν ὁ θεὸς βδελύσσεται, ἐπειδήπερ οὐδὲν ἀνάξιον αὐτοῦ τῶν ἔργων
ἐγένετο. πάντα καλὰ καὶ καλὰ λίαν, ἐὰν ταῦτα ἴδωμεν ὡς ὁ πλάστης εἶδε γεγενημένα·
Gen. 1, 31 M V 213 εἶδε γὰρ ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἀπαθέσι βλέπε
πάντα τοῖς ὀφθαλμοῖς, καὶ ὡς ὁ θεὸς αὐτὰ βλέπεις λίαν καλά. ἐξόρισον τὸ πάθος, καὶ
γνωρίσεις τὴν εὐγένειαν τοῦ γενομένου.

9 Τί οὖν θαυμαστὸν εἰ ἐν ἰδίωι ἔργωι καὶ οἴκωι κατεσκήνωσεν ὁ θεός; σὺ δὲ
λέγεις ἀξίως μὲν αὐτὸν ἐν οὐρανῶι κατοικεῖν, ἀναξίαν δὲ μονὴν αὐτοῦ τὸν ἄνθρωπον οἴει,
κρίνων τὰ πράγματα οὐ τῆι ἀληθείαι τῶν λόγων, ἀλλὰ τῶι πάθει καὶ τῆι προλήψει. τί
γὰρ ὑψηλότερον, εἰπέ μοι, οὐρανὸς ἢ ἄνθρωπος; τί θεῶι τιμιώτερον, ἥλιος ἢ ἄνθρωπος;
μὴ γάρ μοι τῆι τῶν στοιχείων πρόσχηις λαμπρότητι μηδὲ διὰ τὴν εὔχροιαν προκρίνηις τὴν
Iob 10, 11 φύσιν μηδὲ τὴν ἐκπηδῶσαν μαρμαρυγὴν τοῦ ἡλίου καταπλαγῆις μηδὲ ὅτι ἐγὼ δέρμα τε
καὶ κρέας ἐνδέδυμαι κατὰ τὸν θεῖον Ἰώβ, ἀλλὰ λογικῆς ψυχῆς τὴν εὐγένειαν σκόπησον.
βλέπε τὴν ἀνθρώπου κατασκευὴν καὶ θαύμασον τὸ ζῶιον. νοῦν ἔχει πάντων ζώιων
κρατεῖν τε καὶ ἄρχειν δυνάμενον· χεῖρας ἔλαβεν ὑπηρετουμένας τοῦ νοῦ τῆι σοφίαι,
ὄργανα παντοδαπῆς τέχνης δημιουργά· μόνον τῶν κτισθέντων πάντων ἀνάγκης ἐλεύθερον
γέγονε· κύριον γνώμης ἰδίας μόνον τὸν ἄνθρωπον ἔκτισεν ὁ θεός. οὐχ ὁρᾶις ἥλιον
ἠναγκασμένους τρέχοντα δρόμους; οὐ βλέπεις μονοειδῆ αὐτοῦ τὴν φοράν; διὰ τί; ἐπειδὴ
γνώμης ἰδίας οὐ γέγονε κύριος. σὺ δὲ προέρχηι ἐλεύθερος, πράττεις ὃ βούλει, οὐκ
ἔχεις ἀνάγκην ὠθοῦσάν σε βίαι, ἐλεύθερος τῆι ψυχῆι κατέστης. ἥλιος δοῦλος ἀνάγκης,
L III 1018 ἄνθρωπος δὲ τὴν γνώμην ἐλεύθερος. τίς οὖν ἀμείνων, εἰπέ μοι, ὁ δοῦλος ἢ ὁ ἐλεύθερος;
ὁ ὑπὸ ζυγὸν ἀνάγκης ἢ ὁ πάσης ἀνάγκης ἀπόλυτος; οὐδὲν θαυμαστὸν οὐδὲ παράδοξον
10 εἰ ἐν ἀνθρώπωι ᾤκησεν ὁ θεός, ὃν ἰδίαν εἰκόνα εὐθὺς πλάσας ἠσπάσατο. τὴν γὰρ
Gen. 2, 7 περὶ τὸν ἄνθρωπον πρόθεσιν ὁ θεὸς εὐθὺς ἐν προοιμίοις τῆς κτίσεως ἐπεδείξατο, χοῦν
Gen. 1, 27 μὲν λαβὼν ἀπὸ τῆς γῆς καὶ πλάσας αὐτόν, εἰκόνα δὲ κατασκευάσας τῆς ἰδίας θεότητος.
διὰ τί οὖν ὃν ἔμελλε τῆι κατασκευῆι τιμᾶν, οὕτως ἐξ εὐτελοῦς φύσεως ἔπλασε; διὰ τί
μὴ ἀπὸ τῆς λαμπρότητος τοῦ ἡλίου λαβὼν ἐποίησεν [αὐτὸν] τὸν ἄνθρωπον, ἀλλ' ἀπὸ γῆς
καὶ χοὸς αὐτὸν διαπλάττει, τοῦ κάτω κειμένου καὶ πατουμένου στοιχείου; τίνος ἕνεκεν,
θέλεις μαθεῖν; ἐπειδὴ τῆι εἰκόνι ἔμελλε τιμᾶν τὸν ἄνθρωπον, εὐτελῆ αὐτῶι δίδωσι τὴν
PG 1381 φύσιν, ἵνα ἡ ὑπερβολὴ τῆς τιμῆς μὴ ἐπαίρηι τὸν ἄνθρωπον εἰς ἀπόνοιαν, ἵνα ὅταν ὑπὲρ
τὴν φύσιν τιμηθῆι, συσταλῆι τῆι μνήμηι τῆς φύσεως καὶ γνωρίσηι τὸ μέγεθος τῆς τιμῆς,
οὐ τῆς αὐτοῦ ἀξίας, ἀλλὰ τῆς χάριτος τοῦ δεδωκότος. οὐκοῦν καὶ τοῦτο φιλανθρωπία

---

VM, P [= hk], S, D [= mn], AWΛ[t]Λ[c]

1 τόκον P   τῶ W τοῦ PΛ   2 ἐγώ[2]] κἀγὼ VMA   τῆσ ἐμῆσ φύσεωσ VA   3 αἱρούμενος — γέννησιν om. Λ   γένησιν P   4 παρθένω S   6 πάντα γὰρ PΛ   λίαν καλὰ D   6/7 ἐὰν — λίαν hic om. M sed addit post 8 ὀφθαλμοῖσ, pergendo ἀπαθέσι πάντα βλέπε τοῖσ ὀφθαλμοῖσ καὶ ὡσ ὁ θσ̄ κτλ.   7/8 βλέπε πάντα] ταῦτα βλέπε WΛ πάντα βλέπε M   8 καὶ MSDAWΛ κἂν P καὶ εἰ V   ταῦτα W   βλέπησ P   9 *factorum* Λ   10 δὲ om. W   11 αὐτοῦ μονὴν W   12 προσλήψει D προλήψει τί οὖν θαυμαστὸν εἰ ἐν ἰδίω ἔργω κατεσκήνωσεν ὁ θσ̄ W   13 τί — ἄνθρωπος om. VD   15 φαῦσιν A   τοῦ ἡλίου μαρμαρυγὴν W   τε om. P   17 νοῦν ἔχει om. SD   ζώιων om. Λ   18 τῆ τοῦ νοῦ D τοῦ νοῦ SW   19 δημιουργεῖ Λ   ἐλεύθερον ἀνάγκησ V   21 ἀναφορὰν WΛ[c]   22 ἐλευθέρωσ A   25 ἀπόλυτος] ἐλεύθερος SD   οὐδὲ VMPSAWΛ[c] οὐδὲν DΛ[t]   26 ὃν ὡσ W   εὐθὺ MSD   27 εὐθὺς om. V   τῆς om. MW   28 τῆς[1] om. PSW   29 ὃν – τιμᾶν] *quod in tali opere facturus erat* Λ   ἤμελλε MAW ἤμελε S   30 αὐτὸν VMPSDAW om. Λ   τὸν om. P   31 ἀναπλάττει P   32 τῆ ἑαυτοῦ εἰκόνι D om. Λ   ἤμελλε MA ἤμελε VS   33 ἡ ὑπερβολὴ VMPSDA ὑπερβολῆ WΛ   34 τιμηθῆι Λ τιμιθῆ P τιμήση VMSDAW   35 αὐτῆσ VM, corr. M

τοῦ κατασκευάσαντος ἦν, τὸ τὴν εἰκόνα τοῦ θεοῦ ἐκ τῆς ἔχειν τὴν φύσιν· ἐνέχυρον γὰρ
11 εἶχε τὴν φύσιν μετρίου φρονήματος: ὥστε εὐγενὲς ζῷον ὁ ἄνθρωπος, εἰ καὶ ὕστερον
ὑβρίσθη τοῖς ὑπεισελθοῦσι παθήμασι. μὴ γὰρ αὐτὸν ἴδῃς προσκεκρουκότα, ἀλλὰ πρὸ
τῆς παραβάσεως τοῦ νόμου τῆς εἰκόνος τοῦ θεοῦ τὴν εὐγένειαν λόγισαι. τί οὖν ἐξευ-
τελίζεις τὸν ἔκπτωτον, τῆς πρώτης αὐτοῦ κατασκευῆς ἐπιλελησμένος καὶ τὴν τιμὴν τὴν
ἀρχαίαν οὐ λογιζόμενος, ἣν αὐτῶι πάλιν μετὰ πολλῆς τῆς φιλοτιμίας ἀποδέδωκεν ὁ θεὸς
ἑνώσας ἑαυτῶι τὴν ἰδίαν εἰκόνα; οὐδὲν οὖν ἄπαιδον τῆς ἐκείνου φιλανθρωπίας ἐγένετο. M V 216
οὐδὲ γὰρ ἐφύβριστον ἀγαθῶι δεσπότηι κοινωνῆσαι δούλωι τῶν δουλικῶν εἰς ὠφέλειαν τοῦ
οἰκέτου. οὐ γὰρ ὑβρίζεται τούτοις ὁ ἀγαθός, ἀλλ' ὅπερ ἐστί, διὰ τῶν τοιούτων γνω-
ρίζεται. καὶ μὴ θαυμάσῃς τοῦ πράγματος· καὶ γὰρ νῦν ἐὰν σεαυτὸν οἶκον κατασκευ-
άσῃς θεοῦ, καὶ ἐν σοὶ κατοικεῖ, εἰ καὶ μὴ οὕτως ὡς ἐν τῶι Χριστῶι· ἐν Χριστῶι γὰρ
κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἀλλ' ὢ τοῦ θαύματος· Col. 2, 9
πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς ἐν ἑνὶ κατοικεῖ καὶ πάντα πληροῖ καὶ ὑπερέχει
τὴν κτίσιν ὅλος ὢν ἐν ἑνὶ καὶ τῶν κτισμάτων οὐδενὸς χωριζόμενος. καὶ μὴ δή σοι
τὸ εἰρημένον φαινέσθω ἀδύνατον. καὶ γὰρ κἀγὼ νῦν προφέρομαι λόγον· οὗτος ὁ
λόγος ἐστὶν ἐν ἑνὶ καὶ ὁ λόγος ἐν πᾶσι γέγονε, καὶ ὅλον τὸν λόγον ἐχώρησεν εἷς καὶ
ὑπὸ πλήθους ὁ λόγος οὐ περιγράφεται. εἰ τοίνυν πρᾶγμα γινόμενον καὶ φθειρόμενον
καὶ ἐν ἑνὶ ὅλον οἰκεῖ καὶ ἐν πᾶσι γίνεται, τί θαυμαστόν σοι φαίνεται εἰ θεὸς καὶ ὅλος ἐν
ἀνθρώπωι ὤικησε καὶ ἐν πᾶσιν εὑρίσκεται;
12 Ὑπόθεσις τοίνυν τῆς σήμερον πανηγύρεως τὸ θεὸν γενέσθαι ἄνθρωπον, ἑλόμενον
τὰ ἀνθρώπινα, ἵνα δῶι τὰ θεικά, καὶ οἰκειωσάμενον τὰ πάθη, ἵνα χαρίσηται τὴν ἀπάθειαν,
ὑπεισελθόντα θάνατον, ἵνα τὴν ἀθανασίαν δωρήσηται. καὶ ἴδια τὰ τῶν ἀνθρώπων ἐκτήσατο
πάθη, οὐ τὴν φύσιν μεταβαλλόμενος, τῆι δὲ γνώμηι τοῦτο οἰκειούμενος, καὶ λίαν εἰκότως
ταῦτα ποιεῖ, τὸν ἄνθρωπον σῶσαι προθέμενος. διὰ ποίαν οὖν αἰτίαν ἴδια τὰ πάθη L III 1019
τὰ τῶν ἀνθρώπων πεποίηται; ἐπειδὴ ἐβούλετο πάθει πάθος ἀναιρεῖν καὶ θανάτωι καταργῆσαι
θάνατον καὶ διὰ τῶν ὁμοειδῶν τὰ ὁμοειδῆ καταπαλαῖσαι ἠθέλησεν, οἰκειοῦται τὸν σταυρόν,
ἴδιον ποιεῖται τὸ ῥάπισμα, τὸν δεσμὸν ἑαυτοῦ πεποίηται, ἵνα θεοῦ γενόμενα τὰ πάθη κατὰ PG 1384
παθῶν ἐξουσίαν λάβωσιν. οὔτε γὰρ φύσις θεοῦ ἠδίκηται (οὐδὲ γὰρ μεταβολῆι ἰδίαι τὰ
πάθη ἐδέξατο) καὶ τὴν ἰσχὺν παρὰ θεοῦ τὰ πάθη κατὰ τῶν ὁμοειδῶν λαμβάνει. λοιπὸν
γὰρ ὁ θάνατος ὡς θεοῦ γενόμενος καταργεῖ τὸν θάνατον, καὶ ἀποθανὼν λύει τὴν τυραν-
νίδα τοῦ θανάτου, ἐπειδὴ καὶ θεὸς καὶ ἄνθρωπος ἦν. οὐ γὰρ ψιλὸν ἄνθρωπον ἐσταύρωσαν
οἱ Ἰουδαῖοι οὐδὲ τὴν ὁρωμένην μόνην καθήλωσαν φύσιν, ἀλλ' εἰς τὸν ἐν αὐτῆι θεὸν ἤγαγον
τὰ τολμήματα τῆς ἡνωμένης φύσεως οἰκειωσάμενον τὰ πάθη. καὶ ἵνα σοι καὶ τοῦτο
13 γένηται σαφές, ἐπὶ τὸ ἐν ἀρχῆι ῥηθὲν ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. κείσθω γὰρ

---

24—31 θανάτου florilegium R I 2 [= Timoth. syr. f. 10[r], arm. p. 270] **τοῦ μακαρίου Θεοδότου ἐπισκόπου Ἀγκύρας ἐκ τῆς εἰς τὴν γένναν τοῦ Χριστοῦ ὁμιλίας· διὰ ποίαν — θανάτου**

---

VM, P [= hk], S, D [= mn], AWΛ[t]Λ[c]

1/2 ἐνέχυρον — φύσιν om. Λ   3 πάθεσι SD   4 συγγένειαν Λ   6 τῆς om. M   ἀπέδωκεν PD δέδωκεν M   7 ἐκείνου] αὐτοῦ W   8 τοῦ om. VMPA   9 τοιούτοισ D   10 περὶ τοῦ D   σαυτὸν P   11 θεῶι Λ   Χριστῶι[2]] υἱῶι Λ   13 σωματικῶς om. Λ   περιέχει Λ   14 ὅλωσ PS   ὢν] ὡσ P   καὶ[1] om. P   16 ἐν ἑνί ἐστι SD   ἐν πᾶσιν ὁ λόγοσ V   17 τὸ πρᾶγμα V   18 γίνεται] φαίνεται SD   φαίνεταί σοι M σοι γίνεται SD   19 ἀνθρώπω MPΛ[c] οὐρανῷ VM[corr]SDAW ἑνί Λ[t]   20 νῦν V om. Λ   τὸν SW   23 ταῦτα WΛ   οἰκειωσάμενοσ D   24/25 πεποίηται τὰ πάθη τὰ [τὰ om. D] τῶν ἀνθρώπων SD   25 τὰ om. flor.   πάθος] πάθη SD   26 τὸν θάνατον flor.   τὸν om. P   27 ἰδιοποιεῖται D   28 τὴν ἐξουσίαν flor. Tim.   γὰρ[2] om. flor. Tim.   29 ὁμοιοειδῶν SD   30 ὁ θάνατος om. S   31 καὶ[1] om. SD   32 οἱ om. VMA   μόνον M   καθείλωσαν W   33 ἐνωμένησ SD ὁρωμένης Λ

βασιλέα φθέγγεσθαι λόγον καὶ τοῦτον ἐντυποῦσθαι διὰ γραμμάτων χάρτηι τινί, τὴν λεγομένην σάκραν ἐξαποστέλλειν ταῖς πόλεσι, λόγον ἠμφιεσμένον καὶ χάρτηι καὶ γράμμασιν, ἐλευθερίαν χαριζόμενον ἢ ἄλλα δῶρα βασιλικὰ τοῖς δεομένοις κομίζοντα. ἀλλὰ ταύτην τὴν σάκραν τὴν λεγομένην τῆι τῶν Ἰταλῶν φωνῆι ὑποδεχέσθω ἄπιστός τις καὶ ἀπειθὴς
M V 217 καὶ τῆς πόλεως ἐχθρὸς καὶ τοῦ βασιλέως πολέμιος καὶ λαβὼν τὸν χάρτην διαρρηγνύτω. τί ἐρράγη ἐνταῦθα; εἰπέ μοι· ὁ χάρτης μόνος ἢ καὶ ὁ λόγος ὁ βασιλικός; καὶ μὴν εἰ χάρτης διερράγη αὐτὸ μόνον, εὔωνον ἦν τὸ φθαρέν, ἀνεύθυνος ὁ ῥήξας ἢ πέντε ὀβολοῖς μόνοις ὑπεύθυνος ἦν. ἀλλὰ δίκην δίδωσι τὴν ἐσχάτην καὶ τιμωρεῖται καὶ τὴν ἐπὶ θάνατον ἄγεται, οὐχ ὡς χάρτην λυμηνάμενος μόνον, ἀλλ' ὡς καὶ λόγον διαρρήξας βασιλικόν. καὶ μὴν ὁ τοῦ βασιλέως λόγος ἐστὶν ἀπαθής, οὔτε χερσὶ λαμβανόμενος τῆι ἑαυτοῦ φύσει οὐδὲ διαρραγῆναι δυνάμενος, ἀλλὰ καὶ αὐτὸς διερράγη, τοῦ χάρτου καὶ τῶν γραμμάτων τὸ πάθος οἰκειωσάμενος. ὁρᾶις πῶς τὸ ἀπαθὲς δέχεται πάθος, ἐπειδὰν φύσει κοινωνήσηι παθητικῆι; οὐδὲ γὰρ ὁ λόγος τῆι οἰκείαι φύσει διέρρηκτο καὶ τὸ πάθος τοῦ χάρτου καὶ τῶν
14 στοιχείων ἐδέξατο. μὴ θαρρείτω τοιγαροῦν Ἰουδαῖος ὡς ψιλὸν ἄνθρωπον σταυρώσας. τὸ γὰρ φαινόμενον χάρτης ἦν, τὸ δὲ ἐν αὐτῶι κρυπτόμενον λόγος βασιλικὸς ἐκ φύσεως, οὐ διὰ γλώττης προενεχθείς. λόγος μὲν γὰρ ὁ μονογενὴς λέγεται, οὐ προφορικὸς δέ, ἀλλ' οὐσιώδης καὶ ἐνυπόστατος, οὐδὲν μὲν τῆι οἰκείαι φύσει πάσχων, ὢν ἀπαθὴς λόγος, ἴδια δὲ ποιούμενος τὰ τοῦ φαινομένου παθήματα καὶ ὥσπερ ὁ βασιλικὸς λόγος καὶ τῶν γραμμάτων τὴν ὕλην αὐτὸς ἐδέξατο καὶ τὸ πάθος τοῦ χάρτου ἴδιον τοῦ λόγου γεγένηται, οὕτως ὁ μονογενὴς τοῦ θεοῦ λόγος τὰ τοῦ καθηλωθέντος ἴδια πεποίηται πάθη. διὰ τοῦτο ὥσπερ ὁ σάκραν βασιλικὴν λυμηνάμενος ὡς βασιλέως ῥήξας τὸν λόγον τὴν ἐπὶ θάνατον ἄγεται, οὕτως ὁ σταυρώσας Ἰουδαῖος τὸ φαινόμενον δίκας δίδωσιν εἰς αὐτὸν τὸν
L III 1022 PG 1385 θεὸν λόγον ἐκτείνας τὸ τόλμημα. ὁ γὰρ θεὸς λοιπὸν ὡς ἴδιον πάθος ἐκδικεῖ τὸ γενόμενον.

Ἀλλ' ἱκανὰ τὰ εἰρημένα, ἐπειδὴ φροντίζειν δεῖ καὶ τῆς μνήμης τῆς ὑμετέρας· τὸ γὰρ πλῆθος τῶν λεγομένων ὑπερβλύζον τῆς τῶν ἀκροωμένων ἐννοίας ἀμνήμονα τὸν ἀκροατὴν τῶν εἰρημένων ποιεῖ. γένοιτο δὲ χάριτι θεοῦ καὶ τὰ εἰρημένα τῆι μνήμηι ὑμᾶς περιλαβεῖν καὶ ἑτέρους ἐκ τούτων ὠφελεῖν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τούτων κληρονομεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ὧι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

**73** = A 145. Latina uersio extat in Collectione CT 56

L III 987
M V 185
PG 77, 1349

Τοῦ αὐτοῦ λεχθεῖσα ἐν τῆι ἡμέραι τῆς γεννήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπανεγνώσθη δὲ καὶ αὐτὴ ἐν τῆι αὐτῆι συνόδωι

1 Λαμπρὰ καὶ παράδοξος τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις, λαμπρὰ μὲν ὅτι κοινὴν ἀνθρώποις σωτηρίαν ἐπήγαγε, παράδοξος δὲ ὅτι τὸν τῆς φύσεως λόγον ἐνίκησε. φύσις μὲν γὰρ τὴν τεκοῦσαν οὐκ οἶδεν οὐκέτι παρθένον, ἡ δὲ χάρις καὶ τίκτουσαν ἔδειξε καὶ παρθένον

---

VM, P [= hk], S, D [= mn], AWΛ$^t$Λ$^c$

1—4 dittographiis turbata, nescio an τὴν λεγομένην — γράμμασιν delenda sint  2 χάρτην kSD  4 τὴν$^2$ delendum  τῆι om. M  τις] τε SD  6 καὶ om. P  ὁ βασιλικὸσ λόγοσ W  7 ἢ] εἰ Λ$^c$  8 δίδωσι δίκην V  9 μόνον om. Λ  9/10 καὶ μὴν — ἀπαθής om. MP  10 ἐν χερσὶ SD  λαμβανόμενον P  οὔτε D  11 δυνάμενον P  αὐτὸ S  12 τὸ πάθοσ W  13 παθητῆ P  14 ὁ ἰουδαῖοσ V  16 δέ om. VΛ  17 ὢν Λ  ὁ λόγοσ SD  19 τραυμάτων V  ὕλην VMPAW φύσιν SD *iniuriam* Λ  ἐδέξατο αὐτὸσ V  20 τοῦ θυ PSDA θῦ M θσ̄ VW τοῦ θυ θσ Λ  22 ὁ om. W  25 διανοίασ D  26 τοῦ θῦ SA  παραλαβεῖν D  28/29 ἧς — ἀμήν om. M  τοῦ — ἀμήν] καὶ W  29 τῶν αἰώνων om. SD

V, P [= hk], AWΛ$^t$Λ$^c$

ογ̄ V ξδ̄ P  31 τοῦ αὐτοῦ VW ἑτέρα τοῦ αὐτοῦ A τοῦ αὐτοῦ ἑτέρα ὁμιλία P  34 ἐπήγασε V  35 μὲν γὰρ] *itaque* Λ  35/p. 81, 1 καὶ παρθένον ἐφύλαξε om. Λ

ἐφύλαξε καὶ μητέρα ἐποίησε καὶ παρθενίαν οὐκ ἔβλαψε· χάρις γὰρ ἦν, σωφροσύνην φυλάτ-
τουσα. ὦ γῆς ἀσπόρου καρπὸν βλαστησάσης σωτήριον· ὦ παρθένος αὐτὸν νικήσασα L III 990
τῆς Ἐδὲμ τὸν παράδεισον. ἐκεῖνος μὲν γὰρ μοσχευτῶν φυτῶν γένος ἀνέτειλεν, ἐκ Gen. 2, 9
παρθένου γῆς ἀνατειλάντων φυτῶν· ἡ δὲ παρθένος αὕτη κρείττων ἐκείνης τῆς γῆς. οὐ
γὰρ ὀπώρας ἀνέτειλε δένδρα, ἀλλὰ τὴν ῥάβδον Ἰεσσαὶ καρπὸν σωτήριον τοῖς ἀνθρώποις Ies. 11, 10
παρέχουσαν. κἀκείνη ἡ γῆ παρθένος ἦν καὶ αὕτη παρθένος· ἀλλ' ἐκεῖ μὲν φῦναι δένδρα
προσέταξεν ὁ θεός, ταύτης δὲ τῆς παρθένου αὐτὸς ὁ δημιουργὸς κατὰ σάρκα γέγονε
βλάστημα. οὐδὲ ἐκείνη μόσχευμα πρὸ τῶν δένδρων ἐδέξατο οὐδὲ αὕτη ἐκ τοῦ τόκου
τὴν παρθενίαν ἠδίκησεν. ἡ παρθένος τοῦ παραδείσου ἐνδοξοτέρα γεγένηται· ὃ μὲν γὰρ
θεοῦ γεώργιον γέγονεν, ἣ δὲ κατὰ τὴν σάρκα θεὸν αὐτὸν ἐγεώργησεν, ἑλόμενον ἀνθρώπου
συναφθῆναι τῆι φύσει.

Εἶδες πῶς γέγονε παράδοξον τὸ μυστήριον παρωσάμενον τὸν τῆς φύσεως λόγον;
εἶδες τὸ ὑπὲρ φύσιν πρᾶγμα θεοῦ δυνάμει μόνηι γενόμενον; εἶδες τὸν λόγον ὑπὲρ
τὸν λόγον τικτόμενον; ὅτι γὰρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν παρθενίαν
οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν τῆς παρθενίας παύεται· ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ
λόγος θεοῦ, φυλάττει τὴν παρθενίαν, ἑαυτὸν λόγον δεικνύς. ὅταν δὲ λόγον ἀκούσηις,
2 οὐσιώδη τε καὶ ἐνυπόστατον νόει, μὴ τοῦτον τὸν διὰ στόματος προχεόμενον. τίκτεται
οὖν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ καὶ λόγος καλούμενος, οὐκ ἀρχὴν τοῦ εἶναι λόγος ἐκ
τοῦ τόκου λαβών, ἀλλὰ τοῦ γενέσθαι ἄνθρωπος ἀρχὴν τὸν τόκον ποιούμενος. ἦν μὲν
γὰρ πρὸ αἰώνων θεὸς λόγος, τῶι γεννήσαντι συναίδιος· ἐπειδὴ δὲ ἄνθρωπος γενέσθαι
δι' ἀνθρώπους ἠθέλησεν, οὐ μεταβολῆι θεικῆς φύσεως, ἀλλὰ θαύματι καὶ θελήσει θεοῦ, ὡς M V 188
ἀρχὴν τοῦ γενέσθαι ἄνθρωπος τὸν τόκον ἠσπάσατο. διὰ τοῦτο καὶ ὡς ἄνθρωπος τίκ-
τεται καὶ ὡς θεὸς λόγος παρθενίαν ἐφύλαξεν. οὐδὲ γὰρ ὁ ἡμέτερος λόγος τικτόμενος
φθείρει διάνοιαν, οὐδὲ λόγος θεοῦ οὐσιώδης τε καὶ ἐνυπόστατος τὸν τόκον ἑλόμενος παρ- PG 1352
θενίαν διέφθειρεν. ὑπὲρ λόγον οὖν τῆς φύσεως ἐστὶ τὸ γενόμενον, καὶ μηκέτι κατάβαινε
πρὸς λόγους τῆς φύσεως· θαῦμά σοι λέγω. μὴ κίνει τοὺς λογισμούς· θεὸν τεχθέντα
σοι λέγω, ἑλόμενον τόκον, οὐκ ἀρξάμενον τῆς θεότητος. ὢν θεὸς ὠικειώσατο τόκον,
οὐχ ὁ τόκος αὐτὸν κατεσκεύασε θεόν. ὃ ἦν, ἔμεινε, καὶ γέγονεν ὃ οὐκ ἦν. τοῦτο
οὖν δι' οἰκονομίαν γενέσθαι βουλόμενος ὅπερ οὐκ ἦν, αἱρεῖται τὸν τόκον ὡς τῆς οἰκονο-
μίας ἀρχήν. γέγονεν ἄνθρωπος, οὐ μεταβληθείσης τῆς φύσεως, οὐ κινηθέντων τῶν ὅρων
θεικῆς οὐσίας· σὺ γὰρ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ἡ θεία γραφὴ Ps. 101, 28
φησι, καὶ σὺ καθήμενος τὸν αἰῶνα, τοῦτο δηλοῦσα τῆς θεικῆς οὐσίας τὸ ἀμετάβλη- Bar. 3, 3
τον. καὶ πάλιν ὁ θεός, φησιν, ὁ αὐτός εἰμι καὶ οὐκ ἠλλοίωμαι. οὐ κινηθεί- Mal. 3, 6
σης οὖν τῆς τοῦ θεοῦ οὐσίας γέγονεν ἄνθρωπος οὐδὲ μεταβληθείσης εἰς φύσιν ἑτέραν.
ἢ γὰρ ἂν οὐκ ἦν θαῦμα τὸ γεγενημένον, εἰ φύσεως μεταβολῆι φύσιν ἑτέραν ἐδέξατο.
πολλαὶ γὰρ παρ' ἡμῖν γίνονται τοιαῦται πραγμάτων μεταβολαί, ἀλλ' ἐν τούτωι θαυματουργεῖ
θεὸς ὅτι μένων ὃ ἦν, γέγονεν ὃ οὐκ ἦν, ὃ δὴ καὶ σημαίνων ὁ μέγας ἀπόστολος ἔλεγεν·

---

V, P [= hk], AWΛ'Λc

1 παρθένον W 5 δένδρον Λ 6 ἐκεῖ] *illius* Λ φύνασ V δένδρα φῦναι P *arborem nasci* Λ 9 ἠδίκησεν VAΛ ἠδίκηται PW 10 αὐτὸν om. Λ ἐγνώρισεν P 11 συναφῆναι φύσει P 13/14 εἶδες τὸ — τικτόμενον om. Λ 13 εἶδεσ πῶσ W γενόμενον μόνη V 13/14 ὑπὲρ τὸν λόγον om. P 14 τὶ W 16 παρθένον W ἑαυτὸν] *se ipsum per hoc* Λc 17 τε καὶ ἐνυπόστατον om. Λc προχεόμενον Λ cf. p. 77, 17 προσλεγόμενον VAW προφερόμενον P 18 δ' om. W 21 θεοῦ om. Λ 24 οὐσιώδης τε καὶ om. Λ 25 λεγόμενον W πρόβαινε P 26 λόγον W λόγους W 28 ὃ ἦν — αἱρεῖται] ὃ οὐκ ἦν, γενέσθαι βουλόμενοσ, καὶ ὃ ἦν ἔμεινεν· αἱρεῖτε V 29 βουλόμενοσ γενέσθαι W 30 μεταβληθεὶσ VW φύσεως] *diuinitatis* Λ τῶν om. AW 31 τῆσ θεικῆσ P 31/32 φησὶ γραφὴ W 32 τοῦτο] *per hoc* Λ 34 μεταβληθεὶς Λ 35 τὸ om. P ἑτέραν om. Λ 36 παρ' om. V πραγμάτων τοιαῦται V 37 ὁ θεὸσ V

Phil. 2, 6 ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων, ὑπάρχων λέγει, οὐχ ὑπάρξας ποτέ, ἵνα δείξηι τῆς
φύσεως τὸ μόνιμον. ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο
L III 991 τὸ εἶναι ἴσα θεῶι, εἶναι λέγει ἴσα θεῶι, οὐ γενήσεσθαί ποτε. εἶτα πάλιν βοᾶι λέγων·
Phil. 2, 7 ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. ὁρᾶις πῶς καὶ μένει ὃ ἦν, καὶ
ἑαυτὸν ἐκένωσεν εἰς τὴν τοῦ δούλου μορφήν, κἀκεῖνο ὢν καὶ τοῦτο γενόμενος, θαυματουργήσας, οὐ φύσιν μεταβαλών, θελήσας, οὐκ ἀναγκασθεὶς μεταβολῆι τῆς οὐσίας; ὃ γάρ λέγει θεός, ποιεῖ, κἂν ὑπὲρ τὸν λόγον τῆς φύσεως ἦι τὸ λεγόμενον. ἔχει γάρ καὶ δύναμιν θαυματουργεῖν δυναμένην καὶ οὐκ ἐκδεχομένην τοὺς λόγους τῆς φύσεως. διά τοῦτο καὶ ὑπάρχει θεὸς καὶ κενοῦται εἰς δούλου μορφήν, καὶ ἴσος ἐστὶ θεῶι καὶ ἄνθρωπος γίνεται, καὶ ἐστὶ προαιώνιος καὶ τόκον ὑφίσταται, καὶ ταῦτα θαυματουργεῖ ἅπερ οὐκ οἶδεν ὁ λόγος τῆς φύσεως.
3 Ἔνθεν καὶ τοῖς Ἕλλησι μωρία λογίζεται τοῦ Χριστοῦ τὸ μυστήριον καὶ Ἰουδαῖοι
1 Cor. 1, 23 σκάνδαλον λέγουσι τῆς οἰκονομίας τὸν λόγον, ὃ καὶ Παῦλος ἐδήλου λέγων· κηρύσσομεν
Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν.
1 Cor. 2, 14 διὰ τί μωρίαν τοῖς Ἕλλησιν; ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος, μωρία γὰρ αὐτῶι ἐστ. τῆι γὰρ φύσει παρακαθήμενος ὁ ψυχικὸς καὶ λογισμοῖς ψυχῆς τὰ πάντα διερευνώμενος τὰ θαύματα τοῦ θεοῦ μωρίαν λογίζεται, οὐκ ἔχοντα μεθ'
Iob. 20, 19 ἑαυτῶν τὸν λόγον τῆς φύσεως. καὶ γὰρ ἀκούων Ἕλλην ὅτι κεκλεισμένης τῆς θύρας
εἰσῆλθεν ὁ σωτήρ, διαγαγὼν τὸ παχὺ τοῦτο σῶμα καὶ τόπου δεόμενον, γελᾶι, οὐ πιστεύων
PG 1353 τῶι θαύματι, ἀλλὰ ζητῶν τὸν λόγον τοῦ πράγματος. καὶ ἀκούων ὅτι παρθένος τεκοῦσα
μεμένηκε παρθένος, μωρίαν ἡγεῖται τὸν λόγον, οὐ μαθὼν πιστεύειν θαυματουργίαι θεοῦ. οὐκοῦν καὶ ἀκούων ἀμεταβλήτως θεὸν γενόμενον ἄνθρωπον, ἀδύνατον τὸ γενόμενον οἴεται,
M V 189 φύσεως κἀνταῦθα μεταβολὰς ἀπαιτῶν. ἀλλ' οὐχ οὕτως ἐδίδαξεν ὁ Παῦλος εἰπὼν τὸν
ὄντα ἴσον θεῶι γεγενῆσθαι ἄνθρωπον. ἑαυτὸν γὰρ κεκενωκέναι φησί, μὴ ἀποβαλόντα τὸ πλήρωμα τῆς θεότητος. δι' ὃ καὶ ἔλεγεν· ἡμεῖς κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. καὶ διὰ τί Ἕλλησι μωρίαν, εἰ ψιλὸς ἐσταύρωται ἄνθρωπος; οὐδενὶ νομίζεται μωρὸν τὸ κατὰ φύσιν γινόμενον. εἰ ὃ ἐπεφύκει, πέπονθε, πῶς νομίζεται μωρὸν τὸ διήγημα; ἀλλ' ἐπειδὴ Χριστόν, φησί, κηρύσσομεν σταυρούμενον, ⟨ὃν⟩ πάλιν λέγομεν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν
1 Cor. 1, 24 (αὐτοῖς γὰρ τοῖς κλητοῖς, φησίν, Ἰουδαίοις τε καὶ Ἕλλησιν κηρύσσομεν
Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν), ὡς σταυρουμένην, φησί, κηρύσσοντες θεοῦ σοφίαν, μωρίαν λέγειν τοῖς Ἕλλησι νομιζόμεθα πιστεύειν οὐκ εἰδόσι θαυματουργοῦντι θεῶι, ἀλλὰ περὶ πάντων φύσεως κινεῖν λογισμοὺς καὶ ἡγουμένοις ὑβρίζειν θεὸν οἰκειωσάμενον πάθη, ἵνα σώσηι τὸ παθητόν. οὐ γὰρ τὸν ἀνυόμενον ὁρῶσι σκοπόν, σωτήριον ὄντα καὶ τῆι ἀγαθότητι πρέποντα τοῦ θεοῦ, ἀλλὰ μόνον ὅτι θεὸς ἑαυτῶι συνῆψε παθήματα, λέγουσιν, οὐ σκοποῦντες τὸ ἐκ τούτου τῆς τῶν ἀνθρώπων σωτηρίας κατόρθωμα. οὐδὲν δὲ τῶν σωιζόντων ἄνθρωπον ὑβρίζει θεόν, τούτοις δεικνύμενον οὐ παθητόν, ἀλλὰ φιλάν-

---

V, P [= hk], AWΛ$^t$Λ$^c$

1/2 ὑπάρχων λέγει — ὑπάρχων om. W 1 ὑπάρξας] *rapiens* Λ$^c$ 3 γεγενῆσθαι Λ 4/5 ὁραῖς — μορφήν om. Λ 5 αὐτὸν P 7 γενόμενον Λ 8 τὸν λόγον Λ 9 τῶ θῶ A 12 Χριστοῦ] θῦ W 13 ὃν AW 14 ἔθνεσι A 18 ἑαυτοῦ P καὶ γὰρ] καίπερ W 19 σῶμα τοῦτο P 21 θαυματουργίαν θῦ V *deo neque miraculo dei* Λ 22 ἀκούων om. Λ λεγόμενον Λ οἴεται] λέγει W 24 τῶ θῶ P κεκοινωνηκέναι V 26 ἔθνεσι PA καὶ om. P ἔθνεσι PA 27 εἰ] οὐ P 28 πέφυκε P 29 φησί om. W ὃν Λ om. VPAW 30/31 αὐτοῖς — σοφίαν om. W 30 κηρύσσομεν om. Λ 31 ὡς σταυρουμένην Λ$^t$ ὡσ σταυρουμένου PAW τόν σταυρούμενον V ὡς σταυρούμενον Λ$^c$ κηρύττοντεσ V 32 ἕλλησι VWΛ ἔθνεσι PA λογιζόμεθα W 32/33 θαυματουργίαν θῦ V 33 ἡγουμένουσ ὑβρίζειν VAW οἰομένουσ ὑβρίζειν P, *æstimantibus iniuriam — fieri* Λ 34 τὸ P ἀννόμενον V 35 τοῦ θῦ πρέποντα W συνῆψεν ἑαυτῶ W 36/37 οὐδὲν δὲ τῶν] οὐδὲ W 37 δεικνυόμενον P

4 θρωπον. ἀλλὰ ἀνθρώπου πάθη, φησίν, οὐ τολμῶ προσάψαι θεῶι. οὐκοῦν οὐδὲ σώι-
ζειν αὐτὸν τοῖς πάθεσι τὸν ἄνθρωπον λέγεις οὐδὲ τῶι σταυρῶι στηλιτεύειν διαβόλου τὴν L III 994
δύναμιν οὐδὲ τὴν ἡμῶν ἁμαρτίαν προσηλωκέναι τῶι ξύλωι οὐδὲ τοῖς ἰδίοις πάθεσιν τὰ
τῶν ἀνθρώπων ἰᾶσθαι παθήματα οὐδὲ θανάτωι λέγεις αὐτὸν καταργῆσαι τὸν θάνατον.
εἰ γὰρ οὐκ ᾠκειώσατο τὰ πάθη θεός, πόθεν τοῖς πάθεσι τοῦ Χριστοῦ τὰ τοσαῦτα κατορθώ-
ματα πῶς ἐγένοντο δυνάμεις; πῶς ἀναιρεῖται θανάτωι ὁ θάνατος, εἰ μὴ θεὸς αὐτὸν ἴδιον
ἐποιήσατο; ἀλλὰ ταῦτα τὰ πάθη οἰκειωθέντα θεῶι τὴν μὲν ἰσχὺν τῶν τοσούτων κατορθω-
μάτων ἐκ θεότητος ἔλαβεν, ὡς θεοῦ ἴδια γεγενημένα, οὐσίαν δὲ θεότητος οὐ παρέβλαψεν
ἐν τῆι ἑαυτῆς ἀεὶ μένουσαν ἀπαθείαι. πῶς γὰρ προσηλώθη τῶι ξύλωι τὸ καθ' ἡμῶν Col. 2, 14
τῆς ἁμαρτίας χειρόγραφον, ἀνθρώπου ψιλοῦ τὸν σταυρὸν ὑπομείναντος; πῶς δὲ σταυρὸς
ἁμαρτίαν ἐσταύρωσεν ἢ θάνατος θανάτου τὴν τυραννίδα διέλυσεν, εἰ μὴ ταῦτα γέγονε
θεοῦ καὶ παρ' ἐκείνου τὴν δύναμιν ἔλαβεν οἰκειωσαμένου τὰ ἡμέτερα, οὐ παθόντος φύσει;
ὃ δὴ καὶ σημαίνων ὁ μέγας ἀπόστολος ἔλεγεν ὅτι οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος 1 Cor. 2, 8
τούτου τοῦ κυριακοῦ πάθους τὸ μυστήριον ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, φησίν, οὐκ
5 ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. διὰ τοῦτο λέγομεν καὶ μένειν αὐτὸν ὃ PG 1356
ἦν, καὶ γεγονέναι ὅπερ οὐκ ἦν. τῆι γὰρ οὐσίαι μένων ὃ ἦν, ἐδέξατο πάθη, ἑαυτὸν
ἑνώσας φύσει τῆι παθητῆι. ὑπήκοος γέγονε, βασιλείαν μὴ ἀποθέμενος· γέγονεν ἄνθρω- Phil. 2, 9
πος, μείνας θεός τε καὶ λόγος· ἀσώματος ὢν τὴν φύσιν, ἀναλλοιώτως γέγονε σάρξ.
πῶς καὶ τίνα τρόπον; οὐχ ὡς λογίζεσθαι δύνασαι, ἀλλ' ὡς ἐκεῖνος θαυματουργεῖν ἐστιν
ἱκανός. ὅταν γὰρ θαῦμά σοι λέγω, κατάλειπε λογισμούς. σημεῖα γὰρ καὶ τεράστια M V 192
τῆι τοῦ θεοῦ πίστει κρατύνεται καὶ οὐκ ἐρευνᾶται τοῖς λόγοις. οὐδὲ γὰρ ἄλλο τι τῶν
θαυμάτων κατὰ λόγον ἐστὶ τὸν ἡμέτερον, ἀλλ' ὅμως γέγονεν ἕκαστον, κἂν ὁ λογισμὸς
ἡμῶν οὐκ ἐφικνῆται τοῦ πράγματος.

Ταῦτα καὶ μάγοι ὡμολόγησαν, ἀστέρι πιστεύσαντες καὶ οὐ πολυπραγμονήσαντες φύσιν. βάρβαροι δέχονται πίστει θαύματα, καὶ ὁ πιστὸς σὺ τί ἀπιστεῖς πρὸς λογισμὸν καταπίπτων ἀνθρώπινον; οἱ ἐκ Χαλδαίας παραγενόμενοι, ὡς ὁ εὐαγγελιστὴς ἔλεγε (Mt. 2, 11) σήμερον, αὐτοῖς τοῖς δώροις τὸ μυστήριον ἔδειξαν τῶι τὸν σκοπὸν τῶν βαρβάρων συνορῶντι καλῶς. τριττὸν γὰρ εἶδος τῶν δώρων προσκομίζουσι, χρυσὸν λίβανον σμύρναν, χρυσὸν μέν, ὅτι βασιλεὺς ὁ τιμώμενος, λίβανον δέ, ὅτι θεὸς ἦν ὁ τεχθείς· τοῦτον γὰρ ἐξ ἔθους προσεκόμιζον τοῖς ὑπ' αὐτῶν νομιζομένοις θεοῖς. προσφέρουσι δὲ καὶ σμύρναν, τὸ πάθος, οἶμαι, τοῦ θανάτου ταύτηι μηνύοντες. εἶδες πῶς καὶ μάγοι ἐπέγνωσαν ὅτι καὶ θεὸς ἔμεινε καὶ ἄνθρωπος γέγονε δεχόμενος θάνατον; γέγονε γὰρ ὅπερ ἐγώ, ἵνα τὴν ἡμετέραν ἀναβιβάσηι φύσιν πρὸς τὴν ἰδίαν ἀξίαν. ἡ γὰρ ἕνωσις τοῦτο ποιεῖ ἑκατέρωι τὰ τοῦ ἑτέρου συνάπτουσα. διὰ τοῦτο οὖν θεὸς ὢν ἄνθρωπος γέγονεν, ἵνα καὶ ἄνθρωπος γένηται θεός, τῆι συναφείαι ταύτηι πρὸς θεικὴν δόξαν ἀναγόμενος, ὡς ἕνα καὶ τὸν αὐτὸν εἶναι θεικῶς τε δοξαζόμενον καὶ πάσχοντα τὰ ἀνθρώπινα.

Καὶ ταῦτα ἡμῖν συνομολογήσειαν ἂν ἅπαντες οἱ ἕνωσιν ὁμολογοῦντες θεότητός τε L III 995

---

35—p. 84, 7 adferuntur a Tim. Ael. syr. f. 10[a] = arm. p. 96 = florileg. R 1 5 ὡς ἕνα — ἀθετῶν

---

V, P [= hk], AWΛ[t]Λ[c]

2 τῶι om. VW 4 ἀνιᾶσθαι W 5/6 *tantarum correctionum sunt factæ uirtutes* Λ scripserim τῶν τοσούτων κατορθωμάτων ἐγένετο δύναμις 6 ὁ om. PW 8 γεγενημένα om. W 9 μένουσαν ἀεὶ W 10 σταυρόν] θάνατον Λ 11 θανάτου] θανάτω V 12 ἔλαβον VPA τῇ φύσει P 14 μυστήριον] σωτήριον A 16 μένων] μόνον P τὰ πάθη W 17 τῇ φύσει τῇ V 18 ἀναλλοίωτοσ PΛ 19 ἐστιν VWΛ ὢν P om. A 20 κατάλιπε PW 23 ἡμῶν om. Λ ἐφικνεῖται VA 24 καὶ[2] om. Λ[c] 25 τὰ θαύματα P σὺ] οὐ Λ[t] 26 χαλδαίων W 29 τοῦτο P 35 ταύτηι om. P ἀγόμενοσ W 37 ἡμῖν Λ[tc] flor. Tim. μὲν VPAW 37—p. 84, 1 συνουολογήσειαν ἂν — ἀνθρωπότητος scripsi secundum Λ *nobiscum confitebuntur omnes qui unitionem* [Λ[c] *unitatem* Λ[t]] *confitentur diuinitatis et humanitatis* συνομολογήσειαν ἅπαντες οἱ ἕνωσιν — ἀνθρωπότητος flor. Tim. συνωμολόγησαν ἵνα πάντεσ ἓν ὦσιν ὁμολογοῦντεσ θεότητά τε καὶ ἀνθρωπότητα [ἓν — ἀνθρωπότητα om. W spatio rel.] VPAW

καὶ ἀνθρωπότητος· τὸ γὰρ ἑνωθὲν οὐκέτι δύο, ἀλλ' ἓν ὀνομάζεται, τῆι δὲ ἐννοίαι πάλιν
[εἰ] διαιρεῖς καὶ ἕκαστον κατ' ἰδίαν σκοπεῖς. οὐκοῦν λύεις τὴν ἕνωσιν· ἀδύνατον γὰρ
ἅμα καὶ φυλάττειν τὴν ἕνωσιν καὶ ἑκάτερον κατ' ἰδίαν σκοπεῖν, ἀλλὰ τὸ ἑνωθὲν ἀλύτως
6 ἓν γέγονε καὶ οὐκέτι γίνεται δύο. ἀλλ' ἐπινοίαι μόνηι χωρίζω, φησίν. οὐκοῦν τῆι
αὐτῆι ἐπινοίαι καὶ τὴν ἕνωσιν ἔλυσας· ὧι γὰρ ἂν διαστήσηις τοῦ ἑτέρου τὸν ἕτερον, τού-
τωι καὶ τὴν συνάφειαν ἔτεμες. τί οὖν ἀναλύεις οἰκονομίαν σωτήριον, δύο νοῶν καὶ τὴν
Hebr. 13, 8 ἕνωσιν ἀθετῶν; ἀλλὰ καθὼς καὶ ὁ μέγας ἀπόστολός φησιν, Ἰησοῦς Χριστὸς χθὲς
καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, ἕνα καὶ τὸν αὐτὸν λέγων αἰώνιόν τε
θεὸν καὶ ἀπὸ χρόνων ἀρχόμενον ἄνθρωπον, καὶ ἡμεῖς ὁμολογῶμεν τὸν αὐτὸν θεόν τε καὶ
ἄνθρωπον τό μὲν ὄντα πρότερον, τὸ δὲ γενόμενον ὕστερον. ἀλλὰ πῶς, φησίν, ὁ μονο-
γενὴς δοῦλος γεγένηται, μείνας ὃ ἦν, καὶ γενόμενος ὃ οὐκ ἦν; [εἰ] βούλει οὖν τοῦτο
PG 1357 μαθεῖν; μάθε ὅτι γέγονε, τὸ δὲ πῶς γέγονεν, ὁ θαυματουργήσας ἐπίσταται μόνος. οὐδὲ
Exod. 7, 20. 21 γάρ σύ μοι δύνασαι λέγειν πῶς ὁ τῶν Αἰγυπτίων ποταμὸς αἷμα γεγένηται, ἀμεταβλήτου
μεινάσης τῆς τοῦ ὕδατος φύσεως. καὶ γὰρ ὡς ὕδατι μὲν οἱ Ἑβραῖοι ἐκέχρηντο, αἷμα
δὲ τοῖς Αἰγυπτίοις ὁ Νεῖλος ἐγένετο, καὶ γέγονεν ὃ οὐκ ἦν, μείνας ὃ ἦν. εἰπέ μοι τὸν
τρόπον. ἀλλ' οὐκ ἔχεις εἰπεῖν· θαῦμα γάρ ἐστι θεοῦ, λογισμοὺς παρωθούμενον. πῶς
Exod. 10, 22. 23 δὲ καὶ τὸ φῶς ἐν Αἰγύπτωι γέγονε σκότος, οὐ σβεσθέν, ἀλλὰ μένον ὃ ἦν; ἡμέρα γὰρ τοῖς
Ἰσραηλίταις ἦν καὶ λαμπρὸν αὐτοὺς περιεῖχε τὸ φῶς, τοῖς δὲ Αἰγυπτίοις τὸ φῶς τοῦτο
M V 193 γέγονε σκότος, καὶ ἓν ὂν τὸ ὁρώμενον φῶς τε ἦν ὁμοῦ καὶ σκότος, οὐδὲ ἐκ τούτου μετα-
βληθὲν κἀκεῖνο γενόμενον. οὐδὲν γὰρ τοῦ φωτὸς παθόντος σκότος ἐγένετο, τοῦ θεοῦ
θαυματουργοῦντος καὶ τὸν λόγον οὐκ ἐκδεχομένου τῆς φύσεως. πῶς οὖν τὸ ὕδωρ τοῦ
Νείλου μεῖναν ὕδωρ αἷμα γεγένηται; ἢ πῶς ἐπὶ τῆς ἰδίας φύσεως μεῖναν τὸ φῶς σκότος
ἐγένετο; οὐδὲ γὰρ τοῦτο ἔφθαρται κἀκεῖνο γεγένηται. οὐδὲ γὰρ ἐφθάρη ἡ φύσις τοῦ
ὕδατος, καὶ ἐδήλουν οἱ Ἑβραῖοι, τοῦτο πότιμον ἔχοντες· ἀλλ' ἔμεινε καὶ αὐτὴ ἡ φύσις ἐν
7 ἰδίοις ὅροις καὶ γέγονεν αἷμα, ὅπερ οὐκ ἦν, θεοῦ ὑπὲρ λόγον δεικνύντος τὸ θαῦμα. ἡ
δὲ Βαβυλωνία φλὸξ πῶς δρόσος τοῖς τρισὶν ἐγένετο παισί; καὶ γὰρ φλὸξ ἦν καὶ δρόσος
ἐγένετο, καὶ ἄμφω ταῦτα δηλοῦνται τῆι ἐνεργείαι. ὅτι μὲν γὰρ δρόσος ἦν, οἱ τρεῖς
Dan. 3, 50. 48 διδάσκουσι παῖδες ταύτηι καταψυχόμενοι· ὅτι δὲ καὶ φλὸξ ἦν, οἱ ταύτηι κατακαυθέντες
μηνύουσι Βαβυλώνιοι. εἶδες πῶς τὸ πῦρ ἔμεινε πῦρ καὶ δρόσος ἐγένετο· οὐ δύο πρά-
γματα οὐδὲ δύο φύσεις, ἀλλ' ἓν ἦν καὶ ⟨τὸ αὐτὸ⟩ τὸ ὁρώμενον. ὃ γὰρ ἦν φλόξ, τοῦτο
γέγονε δρόσος, καὶ μαρτυροῦσιν οἱ δίκαιοι. μηκέτι οὖν ἐρώτα με τῶν τοῦ θεοῦ σημείων

---

12 sq. *Nota: Abhinc pessima exempla uertibilium rerum et periturarum* Λ$^{c}$ in mg.
2/3 ἀδύνατον — σκοπεῖν adferuntur a Timoth. arm. p. 69
13—15. 16—21 θαυματουργοῦντος. 25——p. 85, 1 nonnullis omissis adferuntur a Timotheo syr. f. 49$^{r}$

---

V, P [= hk], AWΛ$^{t}$Λ$^{c}$

1 οὐ PΛ$^{t}$ 1/2 τῆι — διαιρεῖς] εἰ δὲ ἓν ποία πάλιν παρείσδυσισ flor. Tim. 2 εἰ VPAW om. Λ καὶ εἰ Tim. σκοπεῖν V 4 χωριζέτω W 4/5 τῇ αὐτοῦ W ταύτηι τῆι Λ 5 καὶ om. Λ *secundum quodlibet* [utrumque om. Λ$^{t}$] *enim si* [*si enim* Λ$^{t}$] *disiunxeris* Λ$^{tc}$ ὧι [ὡς flor.] γὰρ ἂν διαστήσησ flor. Tim. ὧι γὰρ διιστᾶσ VPAW τὸν flor. τὸ VW om. PA 5/6 τούτωι] τούτου Λ$^{t}$ κατὰ τοῦτο Λ$^{c}$ 6 συνάφειαν VPWAΛ ἕνωσιν flor. Tim. σωτηρίου Λ$^{c}$ ἐπινοῶν P 7 ἀλλὰ καθὼσ PAW ἀλλὰ καθὰ V ὅθεν Λ$^{t}$ *sicut* Λ$^{c}$ καὶ om. A ἀπόστολος] παῦλοσ P Χριστὸς Ἰησοῦς Λ$^{c}$ 8 post αἰῶνας ins. *heri et hodie dixit principium temporis dans. ipse et in sæcula ait* Λ 8/9 τε] τε καὶ V 9/10 καὶ ἡμεῖς — ἄνθρωπον om. VΛ 9 ὁμολογῶμεν A ὁμολογοῦμεν PW 11 εἰ VPAW om. Λ οὖν PAWΛ om. V 12 μάθε om. Λ μόνος om. W 14 μενούσησ P 18 αὐτοὺσ περιεῖχε AWΛ Tim. αὐτοῖσ παρεῖχε VP 19 τὸ ὁρώμενον ὂν V ἦν om. W ὁμοῦ om. P 20—23 οὐδὲν — γεγένηται om. P 20 οὐδὲν Λ$^{c}$ οὐδὲ VAWΛ$^{t}$ 21—25 πῶς οὖν — θαῦμα dittographiæ sunt eorum quæ præcedunt 23 ἔφθαρτο W 24 οἱ om. W 26 δὲ] τε Λ ἦν om. Λ 27 ἐγίνετο VA 29 ἔμενε P οὐ] οὐδὲ Λ 30 οὐδὲ] καὶ P τὸ αὐτὸ Λ Tim. om. VPAW ὃ γὰρ Λ ὅπερ VPAW

τὸν τρόπον. πάλιν γὰρ ἐρῶ σοι, τὰ θαύματα δεικνὺς μὲν ὅτι γέγονε, θεῶι δὲ καταλιμπάνων εἰδέναι τῶν θαυμάτων τὸν λόγον. εἶτα εἰπέ μοι· ταῦτα θαυματουργεῖ θεὸς καὶ τὴν φλόγα ⟨φυλάττων⟩ δρόσον ποιεῖ, οὐδὲ φλόγα μεταβαλὼν καὶ πρὸς δρόσον αὐτὴν μεθιστῶν, τυράννου τὴν ἀπόφασιν λῦσαι βουλόμενος καὶ ἠδικημένους ἐκδικῆσαι θέλων καὶ τοὺς αἰτίους καταναλῶσαι βουλόμενος βαρβάρους [καὶ θαυματουργεῖ τὰ τοιαῦτα θεὸς τὸ L III 998
πῦρ φυλάξας ἐν ἰδίοις ὅροις καὶ δρόσον ἐπιδείξας, καὶ ἵνα τρεῖς παῖδες σωθῶσι, θαυματουργεῖ τὰ τοιαῦτα θεός], ἵνα δὲ κόσμον σώσηι θεός, ἀμφιβάλλεις ὅτι αὐτὸς μείνας θεὸς γέγονεν ἄνθρωπος; οὐκ ἐδεήθη φλόγα μεταβαλεῖν, ἵνα δρόσον ἐργάσηται, καὶ αὐτὸς ἄνθρωπος γενέσθαι βουληθεὶς διὰ σωτηρίαν ἀνθρώπων τὴν ἑαυτοῦ φύσιν ἐδεήθη μεταβαλεῖν; πῦρ ἔμεινε καὶ γέγονε δρόσος, καὶ σὺ λέγεις· πῶς μένει θεὸς καὶ γίνεται ἄνθρωπος;

Ἐπειδὴ γὰρ τὴν φύσιν ἡμῶν βουλόμενος σῶσαι θεὸς οὐ δι' ἑτέρων τὴν σωτηρίαν ἡμῶν, ἀλλὰ δι' ἑαυτοῦ κατεσκεύασεν, ἐπειδὴ πᾶσα κτίσις ἠτόνει πρὸς σωτηρίαν ἡμῶν ἕξιν ἐχόντων καὶ κακίας καὶ πλάνης· ἡ γὰρ μακρὰ τῆς κακίας συνήθεια ἀντὶ φύσεως τοῖς PG 1360
ἀνθρώποις ἐγίνετο παρωσαμένη τὴν φύσιν, προεφήτευσε προφήτης, ἀλλ' ἠτόνει ὁ λόγος τῆι κακίαι νικώμενος, ἄγγελοι λειτουργοὶ τῆς ἡμετέρας ἐγίνοντο σωτηρίας (καὶ μαρτυρεῖ ὁ μέγας Παῦλος λέγων περὶ ἀγγέλων· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς Hebr. 1, 14
διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;), ἄγγελος ὁ κρείττων τὴν φύσιν ἐλειτούργει πρὸς σωτηρίαν ἡμῶν, ἀλλ' οὐκ ἐσώιζετο ἄνθρωπος, ταῖς κακίαις σπουδαίως ἐγκείμενος, ἠτόνει οὖν ἅπαντα πρὸς ἀνθρώπων τὴν ἀμέλειαν· ἡ γὰρ κακία τῶν πονηρῶν τὴν σπουδὴν ἐνίκα τῶν ἀγαθῶν, οὐχ ὅτι νικᾶται θεός, ἀλλ' ὅτι γνώμηι τοῦ αὐτεξουσίου τὴν ἀρετὴν ἐπιτρέπει, ἀνάγκηι οὐκ ὠθεῖ σε πρὸς κατορθώματα οὐδὲ μὴ βουλόμενον ἕλκει πρὸς ἀρετήν, ἵνα σοι τὴν ἀρετὴν κατασκευάσας ἑκούσιον
8 σὸν αὐτὴν ποιήσηι κατόρθωμα, τί οὖν; ἐπειδὴ καὶ προφῆται ἐνενίκηντο καὶ οὐκ ἐνήργουν M V 196
διδάσκαλοι καὶ νόμος ἠτόνει καὶ ἄγγελοι τῆς σπουδῆς ἀπετύγχανον, τῆς γνώμης τῶν ἀνθρώπων οὐκ εἰκούσης τοῖς ἀγαθοῖς, αὐτὸς ὁ τῆς φύσεως ποιητὴς ἐπεδήμησε, φύσιν νενικημένην ἀνορθῶσαι βουλόμενος, καὶ παραγίνεται, οὐ κτυπῶν ὡς θεὸς οὐδὲ βρονταῖς Exod. 19, 16
καταπλήττων τὰς ἀκοὰς οὐδὲ γνόφον περιβαλλόμενος καὶ πῦρ φοβερὸν ἐν τῶι γνόφωι δεικνὺς οὐδὲ σάλπιγγος ἤχωι τοὺς ἀκούοντας δεδιττόμενος, ὥς ποτε τοῖς Ἰουδαίοις ἐπεφάνη φόβον ἐμποιῶν, οὐ σοβῶν τὸν οἰκέτην, χάριτι δὲ μᾶλλον αὐτὸν προσκαλεῖται καὶ ἀγαθότητι. οὐ δορυφορίας ἐπάγεται ἀρχαγγέλων· οὐ κινεῖ τὰ τῶν ἀγγέλων στρατόπεδα. οὐ γὰρ ἠθέλησε σοβῆσαι τὸν δραπέτην τὸν φυγάδα τῶν ἐκείνου νόμων γενόμενον, ἀλλ' ἔρχεται ὁ πάντων κύριος ἐν δούλου μορφῆι, πτωχείαν περιβαλλόμενος, ἵνα μὴ σοβήσηι τὸ θήραμα. ἐν ἀδήλωι τίκτεται χωρίωι, ἀγρὸν ἀφανῆ πρὸς γέννησιν ἐκλεξάμενος· διὰ πτωχῆς τίκτεται παρθένου καὶ πάντα πτωχὰ προσλαμβάνεται, ἵνα ἡσύχως πρὸς σωτηρίαν ἀγρεύσηι τὸν ἄν-

---

V, P [= hk], AWΛ^tΛ^c
1 δεικνὺς Λ δείκνυσι V δεικνύουσι A δεικνύω σοι P δείκνυμί σοι W 1/2 καταλιμπάνων Λ καταλιμπάνω VPAW 2 εἰδέναι om. W εἶτα om. P 3 φυλάττων Λ om. VPAW ποιεῖ PAWΛ ποιῶν V εἰσ P 5 ἀναλῶσαι A 5—7 καὶ θαυματουργεῖ — τὰ τοιαῦτα θεός dittographiæ sunt eorum quae præcedunt, eieci utpote constructionem obscurantia 5 καὶ θαυματουργεῖ] *operatur itaque* Λ^c 7 ὁ θσ̄ A θεός² om. WΛ 8/9 ἄνθρωποσ αὐτόσ W 9 τὴν] οὐ τὴν Λ¹ πῶς τὴν Λ^c αὐτοῦ W μεταβαλεῖν ἵνα δρόσον ἐργάσηται P 10 ἔμενε P πῶς] *quia non* Λ μένη P 11 γὰρ om. Λ ἑτέρου W 12 ἐπειδὴ γὰρ Λ ἡ κτίσισ W φύσισ A 13 ἡ μακρὰ γὰρ W 14 ἐγένετο P *constat* Λ προεφύτευσε P 16 οὐχὶ] ὅτι Λ 17 σωτηρίαν] βασιλείαν P 18 κρείττων] κηρύττων P 18/19 ὁ ἄνθρωποσ W 19 ἅπαντα om. Λ τὴν τῶν ἀνθρώπων P τὴν ἀνθρώπων W 21 ἀνάγκη δὲ P ὠθεῖ σε VAWΛ^t ὠθεῖσθαι P *impellens* Λ^c 22 οὐδὲ] εἰ δὲ P βουλόμενοσ V 23 αὐτὸ W νενίκηντο P 24/25 τῶν ἀνθρώπων] *hominis* Λ^c 25 φύσιν om. P *naturamque* Λ 26 καὶ om. Λ 27 φοβερὸν om. Λ 29 ἐμποιῶν] *iniciens indeuotis* Λ *euocans* Λ post ἀγαθότητι ins. *propterea non uenit cum imperiali fastu* [*fastigio* Λ^t] Λ^tc 30 δορυφορίαισ P 30/31 οὐ γὰρ — φυγάδα om. P 31 νόμω P om. W γενομένων P 32 μὴ σοβήσηι] ἀγρεύση W 34 καὶ om. Λ προσλαμβάνεται om. Λ

θρωπον. εἰ γὰρ ἐπιδόξως ἐτέχθη καὶ πλοῦτον πολὺν περιβαλλόμενος παρεγένετο, εἶπον ἂν οἱ ἄπιστοι ὅτι ἡ τοῦ πλούτου δαπάνη τὴν μεταβολὴν τῆς οἰκουμένης εἰργάσατο. εἰ τὴν μεγάλην Ῥώμην εἵλετο πόλιν, τῆι δυναστείαι τῶν πολιτῶν τῆς οἰκουμένης τὴν μεταβολὴν ἐλογίζοντο. εἰ υἱὸς ἐγένετο βασιλέως, τῆι δυναστείαι τὴν ὠφέλειαν ἐπέγραφον.
L III 999 εἰ νομοθέτου ἐγεγόνει υἱός, αὐτοῦ τοῖς προστάγμασι τὴν ὠφέλειαν ἐπέγραφον. ἀλλὰ τί ποιεῖ; πάντα [τὰ ἔργα] πτωχὰ καὶ εὐτελῆ, πάντα μέτρια καὶ τοῖς πλείοσιν ἀφανῆ, ἵνα θεότης μόνη γνωρισθῆι τὴν οἰκουμένην μετακοσμήσασα. διὰ τοῦτο πτωχὴν αἱρεῖται μητέρα, πτωχοτέραν πατρίδα, ἐνδεὴς τοῖς χρήμασι γίνεται.

Lc. 2, 7 Καὶ τὴν ἔνδειαν ἑρμηνευέτω σοι ἡ φάτνη. οὐχ ὑπαρχούσης γὰρ κλίνης ἐφ' ἧς κατακλιθῆι ὁ κύριος, ἐν φάτνηι τίθεται καὶ γίνεται τῆς χρείας τὸ ἄπορον προφητείας κάλλι-
PG 1361 στον μήνυμα. ἐν φάτνηι γὰρ κατετέθη, μηνύων ὅτι καὶ ἀλόγων ἔσται τροφή. ὁ γὰρ τοῦ θεοῦ λόγος πρὸς ἑαυτὸν ἐφείλκετο καὶ πλουσίους καὶ πένητας καὶ ἐλλογίμους καὶ τῶι λόγωι βραδεῖς, πενίαι τε συζῶν καὶ ἐν φάτνηι τεθείς. ὁρᾶις πῶς τῆς χρείας ἡ ἔνδεια προφητείαν εἰργάσατο καὶ ἡ πτωχεία τὸν δι' ἡμᾶς πτωχεύσαντα εὐπρόσιτον πᾶσιν ὑπέδειξεν; οὐδεὶς γὰρ δεδοικὼς τοῦ Χριστοῦ πλοῦτον ὑπέρογκον ἄτολμος ἦν· οὐδένα προσελθεῖν αὐτῶι βασιλείας ὕψος ἐκώλυσεν, ἀλλὰ κοινὸς ὤφθη καὶ πένης ὁ πᾶσιν ἑαυτὸν εἰς σωτηρίαν προθείς. ἐν φάτνηι γὰρ ὁ τοῦ θεοῦ κατατίθεται λόγος καὶ διὰ μέσου τοῦ σώματος, ἵνα ἄδειαν ἔχηι λογικός τε καὶ ἄλογος μεταλαβεῖν τῆς σωτηριώδους τροφῆς. καὶ τοῦτο τάχα καὶ ὁ προφήτης πρότερον ἐβόα, τῆς φάτνης ταύτης διηγούμενος τὸ μυστήριον λέγων·
Ies. 1, 3 ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός με οὐ συνῆκεν. εἰ γὰρ καὶ ἁπλουστέραν ἔννοιαν ὁ λόγος ἔχει, δεικνὺς τὸν Ἑβραῖον τῶν ἀλόγων ἀγνωμονέστερον, ἀλλὰ δύναιτ' ἂν καὶ τοῦτο δηλοῦν, φάτνην ὑποδεικνὺς τοῦ κυρίου, ἐφ' ἧς τεθεὶς τροφὴ τοῖς ἀλογωτέροις
M V 197 ἐγένετο. καὶ γὰρ οὐκ ἀορίστως ὁ προφήτης φάτνην δηλοῖ, ἀλλὰ τὴν φάτνην ταύτην ἔφη τοῦ κυρίου αὐτοῦ, τῶι ἄρθρωι τούτωι, οἶμαι, τὴν φάτνην ὡρισμένως σημαίνων. καὶ ταῦτα μὲν φιλοσοφείτω ὁ βουλόμενος, τῆι ποικίληι θεωρίαι τῆς θείας γραφῆς ἐντρυφῶν· ἡμεῖς δὲ ἐδείξαμεν ὅτι ἐπτώχευσε δι' ἡμᾶς ὁ πλούσιος τῶι τῆς θεότητος λόγωι εὔληπτον
2 Cor. 8, 9 πᾶσι τὴν σωτηρίαν ποιῶν. ὃ δὴ καὶ σημαίνων ὁ μέγας Παῦλος ἔλεγε· δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῆι ἐκείνου πτωχείαι πλουτήσωμεν. καὶ τίς ἦν ὁ πλουτῶν; τί δὲ ἐπλούτει; καὶ πῶς οὗτος ἐπτώχευσε δι' ἡμᾶς; λεγέτωσαν ἡμῖν οἱ τοῦ θεοῦ λόγου διαιροῦντες τὸν ἄνθρωπον καὶ τὸ ἑνωθὲν διιστάντες τῆι μνήμηι τῶν φύσεων, οἱ δύο τινὰ λέγοντες τὸν Χριστὸν καὶ τὸ ⟨ἓν⟩ ἐπινοίαι μόνηι πρὸς ἀπολογίαν κομίζοντες. τίς οὖν ὢν πλούσιος, εἰπέ μοι, τὴν ἐμὴν πτωχείαν ἐπτώχευσεν; ἆρα ὁ φαινόμενος ἄνθρωπος, ὃν σὺ διιστᾶις τῆς θεότητος; ἀλλ' οὐδέποτε οὗτος ἐγένετο πλούσιος· ἦν πτωχός, ἐκ πτωχῶν προγόνων τεχθείς. τίς οὖν ὁ πλούσιος καὶ τί πλουτῶν

30—33 Tim. arm. p. 105 syr. fol. $10^a$, $49^a$ = floril. R 1 8 πῶς ἐπτώχευσεν — ἐπικομίζοντες

V, P [= hk], AWΛ$^t$Λ$^c$

3 Ῥώμην] πόλιν W πόλιν Λ πάλιν VPAW 5 αὐτοῖσ PAW om. Λ ἐπέγραφον τὴν ὠφέλειαν P 6 τὰ ἔργα VPW ἔργα A *elegit* Λ eieci 7 μόνη νῦν W 12 λόγος καὶ υἱός Λ ἀφείλκετο V 13 ὅρα Λ 14 ὑπέδειξεν P ἐπέδειξεν AW ἀπέδειξεν V 15 ἀτόλμητος A 16 βασιλέωσ W αὐτὸν P 17 τοῦ²] τούτου τοῦ W 22 τῶν ἀλόγων τὸν ἑβραῖον P δύναιτ' scripsi δύναται VPW δύνηται A 23 φάτνη P om. Λ ὑποδεικνύντος Λ τὸν κν P ἐφ' ἧι V *quia ibi* Λ ἀλόγοισ P 24 ὁ προφήτης om. Λ 25 λέγει P post αὐτοῦ repetit ἐφ' ἧσ — ἀλογωτέροισ — ταύτην ἔφη τοῦ κῦ αὐτοῦ P ἄρθρω PWΛ ἄνω VA 26 τῆ ποικίλη PΛ τὴν ποικιλίαν VAW ἐντρυφᾶν P 31 θεοῦ om. W τὸ ἀνθρώπινον flor. Tim. syr. f. 10' καὶ] οἱ Λ$^c$ διιστάντεσ flor. διιστῶντες VPA om. W 32 ἓν flor. Tim. om. VPAWΛ 33 οὖν ὢν Λ οὖν PAW ὢν V 35 ἦν γὰρ PW *sed* Λ

ἦν, ὃς δι᾽ ἡμᾶς ἐγένετο πένης; θεός, φησίν, ἐπλούτει τὴν κτίσιν. οὐκοῦν θεὸς καὶ πένης ἐγένετο, ἰδίαν πενίαν τὴν τοῦ ὁρωμένου ποιούμενος. ὁ γὰρ αὐτὸς καὶ ἐπλούτει τὴν θεότητα καὶ δι᾽ ἡμᾶς πένης ἐγένετο. οὐδὲ γὰρ τὸν ἄνθρωπον ἂν εἴποις πλουτεῖν, πτωχὸν ὄντα καὶ φύσει καὶ χρήμασιν, οὐδὲ [γὰρ] τόν πλουτοῦντα θεότητος ἀξίαν πτωχεύειν ἂν εἴποις, μὴ προσάψας αὐτῶι τὰ ἀνθρώπινα. διὰ τοῦτο καὶ ὁ ἀπόστολος συνάπτων δόξαν θεότητος ἀνθρωπίνοις παθήμασιν, οὐδὲ ἐπινοίαι διαιρεῖν οὐδὲ λόγωι διαστῆσαι τὰ ἑνωθέντα [L III 1002] βουλόμενος, τὸν αὐτόν ἔφη πλουτεῖν θεότητα καὶ πτωχεύειν παθήμασι καὶ τὸ μὲν δι᾽ ἑαυτὸν [PG 1364] εἶναι, τὸ δὲ δι᾽ ἡμᾶς πεπονθέναι. εἰ δὲ ὁ πλουτῶν τὴν θεότητα πτωχεύει τὴν ἀνθρώπων πτωχείαν, πῶς οὐχὶ καὶ τὰ λοιπὰ πέπονθεν, ἅπαξ ἄνθρωπος γενέσθαι διὰ φιλανθρωπίαν ἑλόμενος;

10 Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον· σὺ δέ μοι βλέπε τὸ πτωχότατον οἴκημα τοῦ πλουτοῦντος [Ps. 79, 2. 98, 1] τὸν οὐρανόν· βλέπε τὴν φάτνην τοῦ ἐπὶ τῶν χερουβὶμ καθημένου· βλέπε σπάργανα τοῦ δήσαντος ψάμμωι τὸ πέλαγος· βλέπε τὴν κάτω πτωχείαν, τὸν ἄνω πλοῦτον [Ier. 5, 22] αὐτοῦ λογιζόμενος. οὕτως γὰρ ἂν καὶ χάριτος καὶ φιλανθρωπίας ἴδοις τὸ μέγεθος, εἰ τὴν τοσαύτην τοῦ θεοῦ λογίσηι συγκατάβασιν. καὶ γὰρ ἐν ταύτηι τῆι πτωχείαι ὁ πλοῦτος αὐτοῦ τῆς θεότητος δείκνυται, ἀστέρος τοῖς μάγοις δηλοῦντος τὸν πένητα καὶ τοὺς [Mt. 2, 9] βαρβάρους ἄγοντος ἐπὶ τὴν φάτνην τοῦ πένητος. ἀλλὰ καὶ ἄγγελοι χαίροντες τοῦτον [Lc. 2, 13. 14] ἀνηγόρευον τὸν πτωχὸν τοῖς ποιμέσιν, ᾄδοντες τὸν πλοῦτον αὐτοῦ τῆς θεότητος. καὶ γὰρ οἱ μάγοι τῶι φαινομένωι τὸν λίβανον προσεκόμισαν ὡς θεῶι, οὐ διιστῶντες τὴν φύσιν τῆς φύσεως οὐδὲ ἐπινοίαις τέμνοντες τὸν ἡνωμένον, ἀλλ᾽ ἅπαξ τῶι θαύματι τὸν φαινόμενον εἰδότες θεὸν προσφέρουσι λίβανον αὐτῶι τούτωι θεικὴν ἀξίαν μηνύοντες. οὐδὲ ἄγγελοι ταῖς ἐπινοίαις ταῖς κατὰ σὲ τὸ τεχθὲν τοῦ θεοῦ λόγου διέστησαν, ἀλλ᾽ ἕνα καὶ τὸν αὐτὸν εἰδότες καὶ ὁρώμενον καὶ νοούμενον ἐβόων λέγοντες· δόξα ἐν ὑψίστοις [Lc. 2, 14] θεῶι καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ οὐκ ἄλλα μὲν λέγοντες κατὰ σέ, ἄλλα δὲ ἐπινοοῦντες καὶ ῥήμασι μὲν ὁμολογοῦντες ἕνα Χριστὸν Ἰησοῦν, ἐπινοίαι [M V 200] δὲ διαιροῦντες τὸν αὐτόν, ὥσπερ σύ, ἐννοίας ἔχων μαχομένας τοῖς ῥήμασιν, ἀλλ᾽ ἕνα καὶ τὸν αὐτὸν δοξάζουσι θεόν. καὶ ἐν πενίαι τοίνυν καὶ ἐν φάτνηι τοῖς πᾶσιν ἐφαίνετο. διὰ τοῦτο καὶ ἐν σπαργάνοις ἐστὶ καὶ ὑπὸ ἀγγέλων δοξάζεται ** οὐ τοῦ ἀστέρος καταβάντος πρὸς τοὺς μάγους (οὐδὲ γὰρ τοὺς τόπους ἀμείβουσιν οἱ ἀστέρες), ἀλλ᾽ ἐπειδὴ τῶν Χαλδαίων ἡ γῆ πολλοὺς ἔχει τῆι κινήσει τῶν ἀστέρων προσέχοντας, ἡ δύναμις ἡ κρείττων ὁδηγοῦσα τοὺς μάγους ἀστέρος ἀνέλαβεν ἰδίωμα, ἵνα ἀφ᾽ ὧν ἔμαθον οἱ Χαλδαῖοι μάθωσιν ὃ οὐκ ᾔδεισαν, καὶ ἀστρονομίαι προσέχοντες αὐτοῖς τοῖς ἄστροις τὰ τοῦ Χριστοῦ διδαχθῶσι μυστήρια. ὅτι γὰρ οὐκ ἦν ἀστήρ, ἀλλὰ δύναμις ἀγγελικὴ ὁδηγοῦσα τοὺς βαρβάρους πρὸς τὴν εὐσέβειαν, αὐτὸς ὁ εὐαγγελιστὴς δηλοῖ, τὸν ἀστέρα τοῦτον καὶ ἐν ἡμέραι ποτὲ φαίνεσθαι, ποτὲ δὲ κρύπτεσθαι λέγων, ἄλλοτε δὲ καὶ ὁδηγεῖν αὐτὸν τοὺς μάγους

V, P [= hk], AWΛ$^{t}$Λ$^{c}$

1 κτίσιν φύσιν P  2 καὶ om. WΛ  3 καὶ] κἂν W  4 γὰρ om. WΛ  *diuinitate per dignitatem* Λ  ἂν] ἀνε̄ W  5 διὰ om. P  6 οὐδὲ PAW *neque* Λ οὐκ V  διαιρεῖν Λ διαιρῶν VPAW  λόγοις W  9/10 γενέσθαι — ἑλόμενοσ A διὰ — γενέσθαι ἑλόμενοσ V διὰ φιλανθρωπίαν ἑλόμενοσ εἶναι W διὰ φιλανθρωπίαν γενόμενοσ P  11 ἐσ V  πτωχότερον Λ  12 οὐρανόν] ἄνον V  13 ψάμω V  τὴν θάλασσαν W  14 ἂν om. VPA  15 ταύτηι] αὐτῆι Λ  17 πτωχεύσαντοσ P  οἱ ἄγγελοι V  18 πένησιν P cf. Λ  19 ὡς om. P  τὴν φύσιν om. P  20 ἐπινοίαι Λ  ἀλλ᾽ — θαύματι VP ἀεὶ ἀλλ᾽ — θαύματι AW ἅπαξ τῶι θαύματι ἀλλά Λ  20/21 τὸ φαινόμενον W  21 μηνύοντεσ PAWΛ κρίνοντεσ V  22 τεχθὲν ὅλωσ P  22/23 ἕνα — αὐτὸν om. Λ  24 ἐν — εὐδοκία om. Λ  25 ἐπινοοῦντεσ δὲ ἕτερα W  Ἰησοῦν om. Λ  26 τὸν om. Λ  καὶ σὺ V  ἀλλ᾽ PΛ ἀλλὰ καὶ VAW  καὶ om. W  27 ὡς θεόν Λ$^{c}$  ὃς καὶ ἐν πενίαι καὶ ἐν Λ  28 lacunam posui secundum Λ *et in præsepe positus et ab stella denuntiatus*  28/29 βάντοσ A  29 εἰσ P  οὐδὲ] οὔτε VPAW  30 τῆι] τοὺσ P  31 ἔλαβεν PA  τὴν ἰδέαν W  34 καὶ ἐν ἡμέρα τὸν ἀστέρα τοῦτον P  35 ποτὲ[1] WΛ om. VPA  δὲ PWΛ om. VA  ἄλλοτε] ἄλλωσ τε W  τοὺσ μάγουσ αὐτὸν W

φησὶ καὶ σὺν αὐτοῖς ἐπὶ τὴν Βηθλεὲμ ἰέναι, ὅπερ οὐκ ἄν τις εἴποι τινὰ τῶν συνήθων
ἀστέρων [δῆλον τῆι αἰσθήσει] ποιεῖν, ἀλλὰ δύναμιν ἐν ἄστρου σχήματι φαινομένην τοῖς
Mt. 2, 9 ἀστρονόμοις. τὸ δὲ καὶ ἔστη ἐπάνω τοῦ παιδίου περὶ τοῦ ἀστέρος ῥηθὲν δύναμιν
PG 1365 εἶναι τὸ φαινόμενον μηνύσει σαφῶς. οὐ γὰρ ἄν τις τῶν ἐν οὐρανῶι τεταγμένων ἀστὴρ
δῆλος ἐγένετο ἐπάνω στὰς τοῦ παιδίου, ἐπειδὴ τὸ τοῦ διαστήματος μέγεθος τῆς ὄψεως
κλέπτον τὴν κρίσιν οὐδὲ στάσιν οὐδὲ κίνησιν τῶν ἀστέρων δήλην τῆι αἰσθήσει ποιεῖ.
ἔστη, φησίν, ὁ ἀστὴρ ἐπάνω οὗ ἦν τὸ παιδίον. οὐκοῦν ἀπολιπὼν τὸ ὕψος ὁ
φαινόμενος ἀστὴρ χθαμαλώτερος γέγονεν, ἵνα τῆι στάσει δείξηι τοῦ βασιλέως τὴν γέννησιν.
L III 1003 καὶ γὰρ ὡς βασιλέα ἐζήτουν οἱ μάγοι, βασιλέως ἐπερωτῶντες τὸν τόκον καὶ τοῖς Ἰουδαίοις
Mt. 2, 2 λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐ-
τοῦ τὸν ἀστέρα ἐν τῆι Ἀνατολῆι καὶ ἤλθομεν προσκυνῆσαι αὐτῶι. βασιλέα
ζητεῖς, ὦ μάγε· τίνος ἕνεκεν ὡς θεῶι προσφέρεις τὸν λίβανον; ἀλλ' οἶδα καὶ βασιλέα καὶ
θεὸν ἐγνώρισα· διὰ τοῦτο καὶ χρυσὸν αὐτῶι προσφέρω καὶ λίβανον, τοῖς δώροις ὁμοῦ καὶ
θεὸν καὶ βασιλέα μηνύων.

11 Ἀλλ' οὗτος ὁ τότε μάγους ἑλκύσας ἀρρήτωι δυνάμει πρὸς τὴν εὐσέβειαν καὶ νῦν
τὴν φαιδρὰν πανήγυριν συνεκρότησε σήμερον, οὐκέτι ἐν φάτνηι τιθέμενος, ἀλλ' ἐπὶ τῆς
σωτηριώδους τραπέζης ταύτης προκείμενος. ἐκείνη γὰρ ἡ φάτνη τῆς τραπέζης ταύτης
μήτηρ ἐγένετο· διὰ τοῦτο ἐν ἐκείνηι τίθεται, ἵνα ἐπὶ ταύτης βρωθῆι καὶ γένηται τοῖς
πιστοῖς σωτήριον ἔδεσμα. ἀλλ' ἡ μὲν φάτνη τὴν λαμπρὰν ταύτην ἀνέδειξε τράπεζαν,
ἡ δὲ παρθένος τοὺς χοροὺς τούτους ἐβλάστησε τῆς παρθενίας, ἡ δὲ τοῦ ἐν Βηθλεὲμ
οἰκίσκου εὐτέλεια τοὺς περιφανεῖς τούτους ἀνέδειξε ναούς, τὰ δὲ τότε σπάργανα νῦν τῶν
ἁμαρτημάτων λυτήρια γέγονεν. εἶδες τῆς τότε πενίας τὰ νῦν φαινόμενα κατορθώ-
ματα; εἶδες πτωχείαν τοσούτου πλούτου γεγενημένην μητέρα; μὴ βλάπτει ἡ κάτω τοῦ
μονογενοῦς πρὸς ὀλίγον εὐτέλεια, τοσοῦτον πλοῦτον τῆι οἰκουμένηι κομίσασα; τί
οὖν ὀνειδίζεις Χριστῶι τὴν ἐν Βηθλεὲμ εὐτέλειαν; διὰ τί πενίαν φέρεις εἰς μέσον, τὰ
ἐξ αὐτῆς κέρδη τοῦ κόσμου μὴ λογιζόμενος; διὰ τί ἀνάξιον λέγεις θεοῦ πάθος τοσούτων
ἀγαθῶν γενόμενον πρόξενον; διὰ τί ἀφαιρῆι τοῦ μονογενοῦς τὰ τραύματα, ἃ τοσαύτην
M V 201 σωτηρίαν τοῖς ἀνθρώποις ἐπήγασε; τί παρακαθέζηι παθήμασι καὶ οὐ βλέπεις τῶν παθη-
μάτων τὰ νῦν γενόμενα κατορθώματα; διὰ τί πάθος ἀνάξιον λέγεις θεοῦ, ὧι λέλυται
τυραννὶς διαβόλου; διὰ τί πενίαν λέγεις ἀναξίαν θεοῦ, δι' ἧς ὁ κόσμος πλουτεῖ τὴν εὐσέ-
βειαν; διὰ τί θάνατον ἀνάξιον λέγεις θεοῦ, ὧι θεὸς ἀνήλωσε θάνατον; τίνος ἕνεκεν σταυ-
ρὸν οὐ λέγεις θεοῦ, ὧι θεὸς τὴν κακίαν τοῦ δαίμονος ἐθριάμβευσεν; διὰ τί τοῦτο μόνον
Col. 2, 14 οὐ λέγεις θεοῦ, ὃς τὴν ἐμὴν ἁμαρτίαν τῶι ξύλωι προσήλωσε; μὴ διαβάλῃς πάθη ἀφ' ὧν
ἀπάθεια τίκτεται· μὴ διασύρῃς εὐτέλειαν ἀφ' ἧς διαβόλου τυραννὶς καταλύεται· μὴ ὀνειδίσῃς
ῥάπισμα θεῶι, δι' οὗ τῆς ἁμαρτίας τὸν ἄνθρωπον ἠλευθέρωσε· μὴ θεοῦ δεσμὸν εἴπῃς
ἀνάξιον, ὧι τὸν δεσμὸν τῶν σειρῶν τῆς ἁμαρτίας ἀνέλυσε· μὴ λέγε πενίαν ἀναξίαν θεοῦ

---

V, P [= hk], AWΛ¹Λᶜ

2 δῆλον — ποιεῖν om. spatio rel. W δῆλον τῆ αἰσθήσει VA δήλην πορείαν τῆ αἰσθήσει P om. Λ 3 τοῦ παιδίου] τοῦ σπηλαίου οὗ ἦν τὸ παιδίον P περὶ τοῦ ἀστέρος om. W 4 μηνύει W 5 τῆς] τὴν A 6 κλέπτων VP 9 βασιλέα — μάγοι om. W 9/10 καὶ τοῖς — Ἰουδαίων om. Λ 10 γάρ φησιν Λ 12 τίνοσ AWΛ καὶ τίνοσ VP οἶδα βασιλέα P 15 καὶ νῦν VPA καὶ ἡμῖν W om. Λ 16 τῆς om. P 17 ταύτησ τραπέζησ W 21 ἀνέδειξε] *prædixit* Λ νῦν τῶν Λ τῶν νῦν VAW τῶν P 23 βλάπτη V 25 Χριστοῦ Λ 26 τοῦ κόσμου om. Λ πάθος] τὸ Λ 27 τραύματα] πράγματα Λ ἃ PΛ ὅσ VAW 28 τοῖς om. W ἐπήγαγε Λ 29 τὰ — γενόμενα om. Λ γινόμενα W 29/30 πάθος — διὰ τί om. V 29 λέγεις om. W λύεται W 31 ἀνάξιον — θῦ PΛ ἀνάξιον θῦ λέγεισ V λέγεισ ἀνάξιον θῦ W 31/32 ἀνήλωσε — θεός om. Λ 31 ἀνεῖλε W 32 τοῦ δαίμονος] ἐχθροῦ V, corr. in mg. V μόνον τοῦτο P τοῦτο W 33 θεοῦ ὅς] ὅτι Λ 34 τυραννίσ διαβόλου P 36 τῶν σειρῶν om. V θεῶ P

ὅτι ὁ διάβολος πλουτῶν τὴν πλάνην ἐπτώχευσε· μὴ καταγνῶις σταυροῦ βωμοὺς καταλύσαν-
τος· μὴ ἐξευτελίσηις ἥλους οἷς τὴν οἰκουμένην Χριστὸς εἰς ἓν φρόνημα τῆς εὐσεβείας
συνέπηξε. μὴ λογίζου τὰ εὐτελῆ, ἀλλὰ τὰ ἐκ τούτων τοῦ παθόντος γενόμενα κατορθώ- PG 1368
ματα, ἃ οὐκ ἂν εἴποις ἀνθρώπου γεγονέναι παθόντος ψιλοῦ, νοῦν ἔχων καὶ τοῖς φαινο-
μένοις πειθόμενος. διὰ τί δὲ καὶ καλεῖς εὐτελῆ ἃ ὁ θεὸς διὰ σωτηρίαν ἀνθρώπων ἠσπάσατο;
εἰ γὰρ παθήματα τῆι φύσει ἐστί τε καὶ λέγεται, ἀλλ' ἰατρεία γέγονε τῶν ἡμετέρων παθῶν.
μηκέτι οὖν αὐτὰ προσαγόρευε πάθη, ἀλλὰ παθῶν τῶν ἡμετέρων ἰάματα.

Καὶ μή μοι τὰ μέλη τῆς παρθένου εἰς ὄνειδος θεότητος φέρε. οὐδὲ γὰρ τούτων
ἡ φύσις ἐστὶν ἀναξία, κἂν ἐπεισελθόντα τὰ τῆς ἀτιμίας πάθη τὴν εὐγένειαν τοῦ σώματος
ἐλυμήναντο. οὐ γὰρ αἰσχρὰ τῆι φύσει τὰ μέλη, ἀλλὰ δι' ἐπιθυμίας ἀτόπου ὑβρίζεται. L III 1006
εἰ γὰρ ἦν αἰσχρὰ τῆι φύσει, οὐκ ἂν ταῦτα θεὸς ταῖς ἰδίαις παλάμαις διέπλασεν, ἐπειδήπερ
οὐκ αἰσχρῶν ὁ θεός, ἀλλὰ τῶν καλλίστων ἐστὶ ποιητής· εἶδε γὰρ πάντα ὅσα ἐποίησεν Gen. 1, 32
ὁ θεός, καὶ ἰδοὺ καλὰ λίαν. οὐδὲν γὰρ τῶν ὑπὸ θεοῦ γενομένων τῆι ἰδίαι φύσει
κακόν, οὐδὲ αἰσχρόν τι θεὸς κατεσκεύασεν, ἀλλ' ἡμεῖς τῆς πρώτης ἐκπεσόντες κατασκευῆς
ἐπιθυμίαις ἀτόποις τὴν φύσιν ἡμῶν καθυβρίσαμεν. εἰ οὖν πλάσας ὁ θεὸς τὰ μέλη τῆς
γυναικὸς οὐ διαβάλλεται, οὐδὲ ἐνοικήσας ἐν αὐτοῖς ἐνυβρίζεται· ἐν ἰδίαι γὰρ κτίσει θεὸς
12 οὐκ ἀναξίως οἰκεῖ. εἰ δὲ λέγεις· πῶς οὐρανὸν καταλιπὼν ἐν μήτραι κατώικησεν; ἐρῶ
σοι κἀγὼ ὅτι θεὸς ὢν ἄνθρωπος δι' ἀνθρώπους ἐγένετο, μείνας θεὸς καὶ οὐ μετατεθείσης
οὐσίας.

Ὁμολογῶ τοιγαροῦν τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, θεὸν μὲν πρὸ αἰώνων, ἄνθρωπον
δὲ γενόμενον ἐκ τοῦ τόκου ἀρξάμενον, οὐ δύο, ἀλλ' ἕνα, οὐ φραζόμενον ὡς ἕνα, διττὸν
δὲ ἐπινοούμενον· οὐδὲ γὰρ μάχεσθαι δεῖ τῶι λόγωι τὴν ἔννοιαν. οὐ νοοῦμεν δύο,
ὁμολογοῦμεν δὲ ἕνα· τό γὰρ οἰκονομίαι καὶ θαύματι συνημμένον οὐδὲ λόγος διίστησιν
οὐδὲ ἔννοια. εἰ δέ τις ἐπινοίαι διαστήσειε τὸ συνημμένον, διαλελυμένον ἐνόησε καὶ
ψευδὴς ἡ ἔννοια γίνεται, διαστήσασα ⟨δηλονότι⟩ τὸ συνημμένον ἀεί. δεῖ οὖν συνομο-
λογοῦσαν ἔχειν τῶι λόγωι τὴν ἔννοιαν. ἕνα λέγεις Χριστόν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρω- M V 204
πον; οὐκοῦν ἕνα καὶ νόει. εἰ δὲ λέγεις μὲν ἕνα, ἐπινοεῖς δὲ δύο, τῶι λόγωι σου πολε-
μοῦσαν ἔχεις τὴν ἔννοιαν. μὴ οὖν λέγε δύο διαφορᾶι τινι διιστάμενα. εἰ γὰρ ἑνοῖς
τῶι λόγωι, μὴ τέμνηις τῆι ἐννοίαι· εἰ δὲ τέμνεις ταῖς ἐννοίαις, τὴν ἕνωσιν ἤρνησαι. μὴ
οὖν πρὸς φύσεις διισταμένας καταγάγηις τὸν λογισμόν, θεοῦ τὴν ἄκραν θαυματουργήσαν-
τος ἕνωσιν. πίστευε τῶι θαύματι καὶ μὴ ἐρεύνα λογισμοῖς τὸ γενόμενον. μὴ κατα-
λύσηις τὸ θαῦμα, εὑρεῖν τὸν λόγον φιλονεικῶν· οὐ γὰρ μένει τὸ θαῦμα οὗ ὁ λόγος γνω-
ρίζεται. εἰ τοῦ γενομένου γνώριμος ὁ λόγος, οὐκέτι σημεῖον οὐδὲ θαῦμα τὸ γεγονός·
εἰ δὲ σημεῖον καὶ θαῦμα, καταλιπὼν λογισμοὺς τὴν πίστιν ἀνάλαβε, ὁμολογῶν ἕνα κύριον

28—33 Timoth. syr. f. 10r = arm. p. 96 = flor. R 1 6 εἰ γάρ — γνωρίζεται

V, P [= hk], AWΛtΛc
1 ὅτε W 1/2 καταλύοντος V 3 ἐνέπηξε Λ 4 ἃ] ὧν W 5 post πειθόμενος add. *hæc recipe* Λ 5 καλεῖς PΛ λαλεῖσ VAW 6 παθήματα τῆι] παθητῆ P 7 αὐτὰ WΛ αὐτὸ VA αὐτῶ P πάθη — ἰάματα WΛ πάθοσ — ἴαμα VPA 8 παρθενίασ V 9 ἐπισελθόντα P 12 ὅσα AW ἃ VP 14 κατεσκεύασεν ὁ θσ V κατεσκεύασε Λ 16 αὐτοῖς VAΛ αὐτῆ PW οἰκεία A 17 καταλιπὸν P 18 μετατεθείσης AW μεταθεὶσ τῆσ P μετατεθείσης τῆσ V 20 τὸν αὐτὸν] καὶ Λ προαιώνιον W 20/21 ἄνθρωπον — ἀρξάμενον] *hominem uero factum ex partu; deum quidem perpetue consubstantialem* [Λc *consempiternum* Λ] *patri, esse uero hominem ex partu incipientem* Λtc 21 δὲ om. W ἐκ — ἀρξάμενον om. W καὶ ἐκ V 21/22 φράζομεν — ἐπινοοῦμεν Λ 22 οὐ] οὐδὲ W 23 καὶ θαύματι om. Λ 24 διαστήσει P 25 δηλονότι addidi *utique* Λ om. VPAW 25/26 δεῖ — ἔχειν *confitentem habeto* Λ 26 λέγεισ Λ λέγειν VPAW 27 ἐπινοεῖς] ἐννοεῖς W 28 μὴ διιστάμενα P 29 τέμνησ W 30 εἰσ flor. κατάγης W λόγον V 31 γινόμενον V flor. 32 εὑρεῖν — θαῦμα om. V τὸ — λόγος VPAWΛ θαυμαστὸς [θαύματος Tim. syr.] ὁ λόγος εἰ flor. Tim. 33 εἰ] ἀεὶ Λt δ οὐκέτι Λt 34 εἰ] σὺ V ex corr.

Ἰησοῦν Χριστὸν καὶ θεὸν καὶ ἄνθρωπον τὸν αὐτὸν οὐδὲ ἐπινοίαις οὐδὲ λογισμοῖς διιστάμενον, ἵνα μὴ τὰ ἑνωθέντα λογισμοῖς διαστήσαντες οἰκονομίαν σωτήριον ἀρνησώμεθα. PG 1369 εἰ γὰρ ἕνωσις θεοῦ καὶ ἀνθρώπου διὰ τῆς οἰκονομίας γνωρίζεται, ὁ τὴν ἕνωσιν διαστήσας τὴν οἰκονομίαν ἠρνήσατο. πιστεύσωμεν οὖν τῆς οἰκονομίας τοῖς θαύμασιν, ἵνα πιστευθεὶς ὁ Χριστὸς τοῖς ὁμολογοῦσι ταύτην τὴν χάριν βασιλείαν οὐρανῶν δωρήσηται, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

**74** = S 108 A 146

L III 983 M V 181 Ἀκακίου ἐπισκόπου Μελιτηνῆς ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι

Ὁρῶντί μοι, ἀγαπητοί, τὸ φαιδρὸν τοῦτο καὶ πνευματικὸν τῆς ἁγίας συνόδου συνέδριον χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαρρεῖν, χαίρειν μὲν ὅτι πάντων ἐλάχιστος ὢν ἐν τῶι μεγίστωι τούτωι τῆς σοφίας πελάγει τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι, θαρρεῖν δὲ ὅτι τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα καὶ τῆι γαλήνηι τῆς τοῦ κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς ἐκκλησίας ἐπιστρέψει συνέδριον. εἰ γὰρ δώδεκα ὄντες τοῦ κυρίου μαθηταί, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων ἠλαύνετο, ὁμοῦ τῶι βοῆσαι πρὸς τὸν κύριον τοῦ χειμῶνος ἀπηλλάττοντο, πόσωι μᾶλλον τοῦτο νῦν ἐλπίζειν ἡμῖν ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ κυρίου μαθηταὶ ἐπὶ τὸ αὐτὸ συνδραμόντες ταῖς οἰκείαις ἐκδυσωπήσουσι φωναῖς τὸν κύριον, ὅτε ὁ μέγας οὗτος πάρεστι καὶ σοφὸς κυβερνήτης οὔτε βίας ἀνέμων εὐλαβούμενος οὔτε ζάλης ταραχάς, ἀλλὰ σὺν τέχνηι πολλῆι τοὺς συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων καὶ τούτου συνεφάπτεσθαι πείθων Mc. 4, 38. 39 καὶ πολλῆι τῆι συμφωνίαι πρὸς τὸν δεσπότην βοῶν οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῆι παρ' αὐτοῦ φωνῆι πρὸς τὸν σάλον τῶν κυμάτων δυσωπῶν λέγει· σιώπα πεφίμωσο. θαρρεῖν οὖν ἡμῖν καὶ εὐχαριστεῖν ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον, ὅπερ L III 986 ἡ δόξασα κατὰ τῆς ἀληθείας γεγενῆσθαι ἀντίπνοια τοὺς τῆς οἰκουμένης φωστῆρας ἐπὶ τὸ 2 Cor. 2, 15 αὐτὸ συνδραμεῖν παρεσκεύασεν, ὧν ὁ μὲν βίος Χριστοῦ εὐωδία ἐστὶ τῶι θεῶι, ἡ δὲ διάνοια πρὸς μίαν καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῆπται ἐκφώνησιν. οὐ γὰρ ἄλλα μὲν τοὺς προσερχομένους διδάσκομεν, ἄλλα δὲ περὶ τῶν διδασκομένων πιστεύομεν, ἀλλ' ἡμῖν εἷς κύριος Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, θεὸς λόγος, ὁ αὐτὸς πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου πατρός, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν τῆι τοῦ δούλου μορφῆι, ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης, τὰ αὐτὰ ἀμφότερα * * θεικῶς, ἀνθρωπίνως δὲ τῶι ἡμετέραι σαρκὶ καὶ νηπιότητι τεχθῆναι, ὁ αὐτὸς ἀπαθὴς θεότητι, παθὼν δὲ ὑπὲρ Phil. 2, 7 ἡμῶν ἑκουσίως σαρκί, οὐκ ἀκουσίως τὴν οἰκονομίαν δεξάμενος, ἀλλ' ἑαυτὸν κενώσας ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφήν. καὶ λαβὼν διὰ τί; ἵνα σε σύμμορφον τῆς οἰκείας

---

V, P [= hk], AWΛ<sup>t</sup>Λ<sup>c</sup>

1 λόγοις W  2 τὰ] τὸν W  3 ἕνωσις — οἰκονομίας] *unitione dei et hominis dispensatio* Λ  ἀνων̅ PW  4 τῆς οἰκονομίας Λ τῆ οἰκονομία VPA τὴν οἰκονομίαν W  5 τὴν χάριν ταύτην P  6 χάριτι — αἰῶνασ [αἰῶνας τῶν αἰώνων Λ] ἀμήν AΛ om. VW  χάριτι καὶ φιλανθρωπία τοῦ κῦ καὶ θυ καὶ σωτῆροσ ἡμῶν ιυ̅ χυ̅ μεθ' οὗ δόξα κράτοσ τιμὴ αἴνεσισ καὶ μεγαλοπρέπεια τῶ ἀνάρχω αὐτοῦ πρ̅ι̅ καὶ τῶ παναγίω καὶ ἀγαθῶ καὶ ζωαρχικῶ καὶ ζωοποιῶ πν̅ι̅ τῆ ἁγία καὶ ὁμοουσίω καὶ ἀδιαιρέτω καὶ ἀχωρίστω τριάδι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνασ τῶν αἰώνων ἀμήν P

V, P [= hk], S, D [= mn], AW

οδ̅ V ξε̅ P ρδ' D  8 μελετίνησ W  10 θαρεῖν P  11 σοφίας VPAW φιλίας SD  τοῦτο om. SD  12 κύματα ταχέως θραυσθήσεται P  13 τῆς²] τὸ τῆς W  συνέδριον SD πέλαγος VPAW  15 ἐκυμαίνετο V  τὸν om. VD  16 ἡμᾶς D  ἀμφίβολον S  17 τὸν χν̅ W  ὅτι SD  19 συνεργάτασ VP  τούτω VA  20 συμφωνεία P  μέλλει SDW  22 ἔπεισιν ἐπὶ V  24 παρεσκεύασεν VPAW συνεκάλεσεν SD  26 ἡμῖν om. V  28 ἐσχάτου W  δὲ om. S  29/30 τὰ αὐτά — τεχθῆναι om. W spatio relicto  29 τὰ αὐτὰ VPA τὰ SD malim ὁ αὐτός  lacunam posui, supplendo e. g. τῶι μὲν γεγεννῆσθαι ἐκ πατρὸς ὢν  30 τῶ A τῆ VPSD  τεχθῆναι om. D  31/32 καὶ ἑκουσίως P

δόξης ἐργάσηται. καὶ μαρτυρεῖ Παῦλος λέγων· ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς Phil. 3, 20. 21
ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς
μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι καὶ αὐτὸ
σύμμορφον τῶι σώματι τῆς δόξης αὐτοῦ. ὁ τοίνυν ἑκουσίως λαβὼν τὴν τοῦ
δούλου μορφήν, ὁ τὴν ἕνωσιν μὴ παραιτησάμενος, πῶς τὰ τοῦ δούλου παρῃτήσατο πάθη;
εἰ δὲ παρῃτήσατο, τίνος ἕνεκεν παθητὴν οὖσαν τὴν τοῦ δούλου μορφὴν ἀνελάμβανεν;
ἀλλ' οὗτος οὐ παρῃτήσατο, ὅτι λαβὼν τὴν τοῦ δούλου μορφὴν ὑπήκοος γίνεται, ὁ ἄνω Phil. 2, 8
ἐξουσιαστὴς κάτω ὑπήκοος, ὁ ἄνω υἱὸς κάτω παιδίον. ἀναμιμνῄσκω σε τῆς προφητείας·
τί ἐβόα ὁ μακάριος Ἡσαΐας; παιδίον ἡμῖν ἐγεννήθη υἱὸς καὶ ἐδόθη ἡμῖν. M V 184
τί ἐστι καὶ ἐδόθη; οὐ μόνον ἐγεννήθη, ἀλλὰ καὶ ἐδόθη· ὁ γὰρ ὢν ἐδόθη, οὗ ἡ Ies. 9, 6
ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. τί ἐστιν ἡ ἀρχὴ τοῦ θεοῦ λόγου γενομένου
ἀνθρώπου; ἡ ἐκκλησία· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. Col. 1, 18
πῶς οὖν ἐπὶ τοῦ ὤμου ταύτην φορεῖ; τὸ συντετριμμένον ἐπὶ τοῦ ὤμου βαστάζει οὗ ἡ
ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης Ies. 9, 6
βουλῆς ἄγγελος, καλεῖται δὲ διὰ τὴν οἰκονομίαν· τί δὲ ἔστι; σύμβουλος θεὸς
ἰσχυρὸς ἐξουσιαστὴς πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁ οὖν ἄνω ἐξουσιαστὴς
κάτω ὑπήκοος, ὁ ἄνω υἱὸς κάτω παιδίον, ὁ ἄνω θαυμαστὸς σύμβουλος κάτω ἄνθρωπος, ὁ ἄνω
θεὸς ἰσχυρὸς κάτω ἄνθρωπος ῥαπιζόμενός τε καὶ ὑβριζόμενος καὶ τῶι σταυρῶι προσηλωμένος
καὶ τὸν διὰ τούτου δεξάμενος θάνατον. πάντα γὰρ ταῦτα τῆς τοῦ δούλου ὄντα μορφῆς
οὐδαμῶς ἡ ταύτην λαβοῦσα θεότης ἐξέκλινεν, ἵνα δι' ἑκάστου τῶν εἰρημένων λύσηι μὲν ἡμῖν τὰ
πρὸς σωτηρίαν κωλύματα, ἀξίαν δὲ τῆς τοσαύτης κενώσεως τὴν εὐεργεσίαν ἡμῖν χαρίσηται.
οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ· οὐ παραιτοῦμαι εἰπεῖν ἃ ἐκεῖνος ὑπέμεινεν ὑπὲρ ἐμοῦ.
ἀπαθὴς ὢν οὐ παρῃτήσατο, ἀλλὰ τῶι παθητῶι συνάψας ἑαυτὸν οὕτω τὰ ὑπὲρ ἐμοῦ
ἐδέξατο πάθη. οὐκ ἀποστερῶ τῆς τιμῆς τὴν θεοτόκον παρθένον, ἣν αὐτῆι ἡ τῆς οἰκονο-
μίας ὑπηρεσία κεχάρισται. καὶ γὰρ καὶ ἄτοπον, ἀγαπητοί, σταυρὸν μὲν τὸν ἐφύβριστον
βαστάσαντα τοῖς θυσιαστηρίοις Χριστοῦ συνδοξάζεσθαι καὶ ἐπὶ τοῦ μετώπου τῆς ἐκκλη- L III 987
σίας ἐκλάμποντα φαίνεσθαι, τὴν δὲ ἐπὶ τοσαύτηι εὐεργεσίαι δεξαμένην θεότητα τῆς θεο-
τόκου ἀποστερηθῆναι τιμῆς. θεοτόκος οὖν ἡ ἁγία παρθένος· θεὸς γὰρ ὁ ἐξ αὐτῆς
τεχθείς, οὐκ ἐκεῖθεν τοῦ εἶναι τὴν ἀρχὴν λαβών, ἀλλὰ ἐκεῖθεν τὴν ἀρχὴν τῆς ἐνανθρω-
πήσεως δεξάμενος. μὴ οὖν ἀμέριμνος ἔσο, αἱρετικέ, ὡς εἰς ἄνθρωπον τὰς βλασφημίας
ἐκτείνων· οὐκ ἄνθρωπός ἐστιν ὁ ὑπὸ σοῦ εἰς τὴν τοῦ δούλου καὶ τοῦ κτίσματος τάξιν
καταγόμενος. μὴ ἀνορθοῦ, Ἰουδαῖε, ὡσεὶ ἄνθρωπον ψιλὸν σταυρώσας· οὐχ ὑπὲρ ἀν-
θρώπου ψιλοῦ ἀλγῶν ὁ μακάριος Δαυὶδ ἐβόα κατὰ τοῦ ἔθνους λέγων· σκοτισθήτωσαν Ps. 68, 24
οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς
σύγκαμψον. μὴ καταπιπτέτω τῆς ἐκκλησίας τὸ φρόνημα ὡς εἰς ἄνθρωπον μόνον ἐλπι-
ζούσης, ἀλλὰ πειθέσθω τῶι μακαρίωι Παύλωι λέγοντι· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα 1 Cor. 15, 32
ἐν Ἐφέσωι, τί μοι τὸ ὄφελος; οὐ κατὰ ἄνθρωπον οὐδὲ ὑπὲρ ἀνθρώπου οἱ μακάριοι

---

V, P [= hk], S, D [= mn], AW

1 πολείτευμα A  4 τῶι σώματι om. SD  6 τήν — μορφὴν παθητὴν οὖσαν SD ἀνέλαβεν W  7 οὕτως SDW  8 καὶ ἀναμιμνήσκω VPA  9 ἐγεννήθη ἡμῖν SD  10 ἐστι] ἐστιν ἐγεννήθη W  11 ἀρχὴ αὐτοῦ PSD  ἐγεννήθη PSD  τίσ W  12 τί ἐστιν SD  13 φέρει P  15 τίσ W  τὸ σύμβουλος V  16 πατὴρ — ἐξουσιαστὴς om. SD  17/18 ὁ ἄνω θεὸς — ἄνθρωπος om. W  19 τοῦ om. P  20 μὲν om. SD  21 ἡμῖν om. V  23 ὢν παθεῖν W  25 ὑπηρεσία om. S  καὶ² om. DW  25—27 σταυρὸν — θεότητα τῆς om. D  26 post βαστάσαντα superscr. χ̅ν̅ W  Χριστοῦ om. W τοῦ θ̅υ̅ S  συνδοξάζεσθαι] δέξασθαι W  τοῦ om. W  28 ὁ om. PW  31 τοῦ² om. P  32 καὶ μὴ SDW  ὡς SD  33 τοῦ ἔθνουσ] τῶν φονευτῶν P  34 τοῦ μὴ βλέπειν om. V  αὐτὸν P  35 σύγκαψον VPD  ὡς εἰς] ὡσεὶ S  37 μοι om. SDW

2 Cor. 11, 23 ἀπόστολοι ἐν πληγαῖς καὶ φυλακαῖς καὶ αἰκισμοῖς τὴν ἑαυτῶν ζωὴν κατηνάλωσαν· οὐ κατὰ
ἄνθρωπον ἢ ὑπὲρ ἀνθρώπου οἱ ἅγιοι μάρτυρες κατὰ πᾶσαν τὴν οἰκουμένην ἀθλήσαντες
ἐν κατατομῆι τῶν οἰκείων μελῶν καὶ κακώσει τὴν παροῦσαν ζωὴν κατέλιπον, ἀλλὰ ὑπὲρ
Bar. 3, 38 τοῦ κυρίου ἡμῶν καὶ θεοῦ τοῦ πρὸ αἰώνων ὑπάρχοντος καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὀφ-
Ies. 53, 7 θέντος καὶ τοῖς ἀνθρώποις συναναστραφέντος καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος καὶ
Act. 1, 3 τῆι τρίτηι ἡμέραι ἀναστάντος καὶ εἰς οὐρανοὺς ἀναληφθέντος καὶ τῶι αὐτῶι τρόπωι ἐρ-
χομένου κρῖναι ζῶντας καὶ νεκρούς. αὕτη ἡμῶν ἡ πίστις· ἐπὶ τούτωι τῶι θεμελίωι ὠι-
Mt. 16, 18 κοδομήθη ἡ ἐκκλησία καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. γένοιτο δὲ
M V 185 πάντων ὑμῶν εὐχαῖς φυλαχθέντων ἡμῶν δόξαν ἀναπέμψαι τῶι παναγίωι θεῶι, ὧι ἡ δόξα
εἰς τοὺς αἰῶνας. ἀμήν.

**75** = S 80. Latina uersio extat in Collectione CT 53

L III 580
M IIII 1248
PG 77, 996

Ὁμιλία Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας λεχθεῖσα ἐν Ἐφέσωι συνάξεων ἐπιτελουμένων καθαιρεθέντος Νεστορίου

Ἔδει μὲν ἀρκεῖσθαι ταῖς τῶν προλαβόντων διδασκάλων μυσταγωγίαις καὶ τοῖς ἱε-
ροῖς ἐμπιπλαμένους νάμασι τιμῆσαι τὸν κόρον· ἐπειδὴ δὲ βλέπω πρὸς φιληκοΐαν ἀπλήστως
διακειμένους, φέρε καὶ ἡμεῖς ὀλίγα λέγωμεν τοῖς προλαβοῦσιν ἀκόλουθα. ἔστι τοίνυν
οὐδαμόθεν ἀμφίβολον ὅτι ταῖς εἰς Χριστὸν εὐφημίαις ὁ λαμπρὸς τῶν ἁγίων ἐπισεμνύνεται
χορὸς καὶ καύχημα ποιεῖται τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον. καὶ γοῦν ὁ μακάριος
Ies. 25, 1 προφήτης Ἡσαΐας πρὸς αὐτόν πού φησι· κύριε ὁ θεός μου, δοξάσω σε, ὑμνήσω
PG 997 τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα· ὁ δέ γε μακάριος προφή-
Ps. 34, 28 της Δαυὶδ ἡ γλῶσσά μου, φησί, μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν
ἡμέραν τὸν ἔπαινόν σου. ἀλλ᾽ οὗτος μὲν ὁ τῶν ἁγίων σκοπός, οἱ δὲ πονηροὶ
καὶ ἀλιτήριοι οἱ τὸ μέγα καὶ σεπτὸν καὶ βαθὺ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς οὐκ
εἰδότες μυστήριον δυσφημοῦσιν ἀφυλάκτως, ἀκρατὲς καὶ ἀπύλωτον ἀνοίγοντες στόμα.
M IIII 1249
Ies. 57, 3. 4 οὐκοῦν ἀκουέτωσαν λέγοντος πρὸς αὐτοὺς τοῦ προφήτου Ἡσαΐου· ὑμεῖς δὲ προσα-
γάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης· ἐν τίνι ἐνετρυφήσατε
καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; οὐχ ὑμεῖς ἐστὲ τέκνα ἀπωλείας,
L III 581 σπέρμα ἄνομον; τέκνα γὰρ ἀπωλείας κατὰ ἀλήθειαν καὶ ἄνομον σπέρμα οἱ τὸν ἀγορά-
1 Cor. 6, 20
1 Petr. 1, 18 σαντα αὐτοὺς δεσπότην ἀρνούμενοι· ἠγοράσθημεν γὰρ τιμῆς, καὶ οὐ φθαρτοῖς ἀργυ-
ρίωι ἢ χρυσίωι, ἀλλὰ τιμίωι αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.
αἷμα δὲ ἀνθρώπου κοινοῦ καὶ ἑνὸς τῶν καθ᾽ ἡμᾶς πῶς ἂν ἐγένετο τῆς οἰκουμένης ἀντά-
ξιον; πῶς δὲ καὶ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα πάντας πλουτίσηι; πῶς αὐτοῦ γεγόναμεν
Rom. 1, 25 οἱ τὸν ἀληθῆ καὶ φύσει θεὸν ἐπιγραφόμενοι; πῶς αὐτῶι λατρεύομεν οἱ τὸ προσκυνεῖν τῆι

---

28—p. 93,5 adferuntur a Timoth. arm. p. 143

---

V, P [= hk], S, D [= mn], AW

1 κατανάλωσαν SD 1/2 οὐ — ἄνθρωπον om. W 1 οὐχὶ P 3 κατέλειπον S ἀλλὰ καὶ SD 4 τοῦ om. SD θυ̅ ἡμῶν PA 5 σφαγῆσ S 6 ἀναληφθέντοσ καὶ πεντακοσίοισ [πεντακοσίουσ D] ἐφάπαξ ὀφθέντοσ καὶ ἐν [ἐπ᾽ W] ὄψεσι τῶν μαθητῶν εἰσ οὐρανοὺσ ἀναχθέντοσ SDW 9 φυλαχθένταϲ ἡμᾶσ VPA 10 αἰῶνας τῶν αἰώνων V

V, P [= hk], S, D [= mn], WΛ'Λ^c

12/13 τοῦ αὐτοῦ κυρίλλου SD τοῦ cetera abscissa W 14 οε̅ V ξς̅ P οζ' D 15 νεύμασι W 16 λέξωμεν SDW 17 τῆς S σεμνύνεται W ἐπεσεμνύνετο P 18 καὶ om. P τὴν S 20 γε om. SW 21 φησί om. P τὴν om. kW σου om. W 22 τοῖσ ἁγίοισ ὁ VP 25 ἡμεῖς V 26 ἀνόμων W ἐτρυφήσατε VP 27 τίνι P τίνοσ W 28 σπέρμα ἄνομον SD 29 ἀρνησάμενοι VP ἠγοράσμεθα SDW 31 δὲ] δὲ καὶ W 32 πλουτίση SDWΛ Tim. σώση VP 33 λατρεύσομεν W

κτίσει παρὰ τὸν κτίσαντα παραιτούμενοι; ἀλλὰ γάρ, ὡς ἔφην ἀρτίως, ἀχαριστοῦσί τινες
τῆι τοῦ σωτῆρος ἡμῶν ἡμερότητι, ἀρνοῦνται τὸν δεσπότην, ἀποσείονται τὸν τῆς δουλείας
ζυγόν, ἵνα καὶ περὶ αὐτῶν λέγηι Χριστὸς διὰ φωνῆς προφήτου· οὐαὶ αὐτοῖς ὅτι ἀπε- Os. 7, 13
πήδησαν ἀπ' ἐμοῦ. δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ, ἐγὼ δὲ ἐλυτρω-
σάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. καταψεύδονται γὰρ
τῆς τοῦ σωτῆρος ἡμῶν εὐκλείας καὶ ὑπεροχῆς οἱ τῆς τῶν Φαρισαίων σκαιότητος καὶ ἀνο-
σιότητος μιμηταί, οἱ Χριστιανοῦ μὲν πρόσωπον περιτιθέντες ἑαυτοῖς, Ἰουδαΐζουσαν δὲ τὴν
διάνοιαν ἔχοντες, οἱ γλῶσσαν ἐπησκηκότες πικρὰν καὶ ἰοβόλον, ἵνα καὶ πρὸς αὐτὴν λέγηι
Χριστὸς τὸ διὰ φωνῆς Ἱερεμίου· ἰδοὺ ἐγὼ πρὸς σὲ τὴν ὑβρίστριαν, λέγει κύριος. Ier. 27(50), 31
Ἰουδαῖοι μὲν οὖν οἱ πάλαι κατεπεφύοντο τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἐπεπήδων
ὡς θῆρες· λίθοις ἔβαλλον εὐεργετοῦντα καὶ σώιζοντα· εἶτα πρὸς αὐτοὺς ἔφασκεν ὁ σωτήρ·
πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον Ioh. 10, 32. 33
λιθάζετέ με; οἱ δὲ πρὸς αὐτὸν ἔλεγον· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε,
ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. ταῦτα
τῶν ἀρχαίων Ἰουδαίων τὰ κατὰ τοῦ σωτῆρος ἡμῶν ἐγκλήματα, οἱ δὲ τῆς ἐκείνων ἀπονοίας
καὶ ἀνοσιότητος ζηλωταὶ πάλιν ἐγκαλοῦσι λέγοντες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς
σεαυτὸν θεόν; ὦ ἀνόητε καὶ βδελυρώτατε, οὐ συνῆκας τὸ μυστήριον. οὐ γὰρ ἄν-
θρωπος ὢν ἑαυτὸν ἐποίησε θεόν, ἀλλὰ θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος ἀτρέπτως καὶ
ἀσυγχύτως· ὁ τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον ἔχων γέννησιν ὑπέμεινε γέννησιν κατὰ PG 1000
σάρκα τὴν ἐκ γυναικὸς καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἵνα ἡμᾶς διασώσηι. γέγονε
κατὰ σὲ διὰ σὲ καὶ μεμένηκε δι' ἑαυτὸν ὅπερ ἦν. ἐπίγνωθι τοίνυν ἐν σαρκὶ γεγονότα
τὸν μονογενῆ· ὁμολόγησον εἶναι θεὸν τὸν δι' ἡμᾶς ἐνηνθρωπηκότα. ἑαυτόν σοι παρί-
στησι λέγων αὐτὸς ὁ λαλῶν πάρειμι· λελάληκε γὰρ τοῖς ἀρχαιοτέροις τὸν νόμον διὰ Ies. 52, 6
Μωσέως, παραγέγονε δὲ μετὰ σαρκός. δέχου μαρτυροῦντας τοὺς ἁγίους προφήτας.
τί φησιν ὁ Βαρούχ, μόνον οὐχὶ καὶ χειρὶ δεικνύων τὸν Ἐμμανουήλ; οὗτος ὁ θεὸς ἡμῶν· Bar. 3, 36-38
οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ
ἔδωκεν αὐτὴν Ἰακὼβ τῶι παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι ἠγαπημένωι ὑπ'
αὐτοῦ. καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. M IIII 1252
ψάλλει δὲ καὶ ὁ μακάριος Δαυὶδ περὶ αὐτοῦ· ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει. βούλει Ps. 49, 3
μαρτυρῆσαί σοι καὶ τοὺς τῆς νέας διαθήκης κήρυκας; ἄκουε λέγοντος Ἰωάννου τοῦ βα-
πτιστοῦ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ Lc. 3, 4
ἡμῶν. βούλει καὶ ἑτέραν πληροφορίαν ἐπὶ ταύταις δέξασθαι; ἐπηγγείλατο ὁ θεὸς τῶι L III 584
μακαρίωι Δαυὶδ ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ. Act. 2, 30
ὁ δέ, καίτοι χαίρων ἐπὶ τούτωι λίαν, καὶ αὐτὸν τῆς γεννήσεως τὸν τρόπον περιειργάζετο.

---

V, P [= hk], S, D [= mn], WΛ$^t$Λ$^c$

1 ἀρτίως πως Λ$^c$ εὐχαριστοῦσι D ἀχάριστοι οἵ VP 2 ἀρνοῦνται] ἀρνοῦν τὰ S τῆς δουλείας τὸν VP 3 διὰ φωνῆς προφήτου VP Tim. τὸ διὰ φωνῆς ὡσηέ SDW *per uocem Esaiae* Λ 3/4 ἀπεδήμησαν V 6 φαρισσαίων SDW 7 περιθέντεσ P 8 ἐξησκηκότες P 9 ἱερεμίου τοῦ προφήτου SDW πρὸσ VP ἐπὶ SDW λέγει κύριος om. S 10 καταπεφύοντο P κατεφύοντο SD τοῦ πάντων — σ̅ρ̅σ̅ VPSDΛ$^t$ τοῦ σ̅ρ̅σ̅ ἡμῶν W ἡμῶν om. Λ$^c$ 11 ὡς λίθοις V ἔβαλλον DΛ ἔβαλον VPSW 12 πολλὰ καὶ SDW ἀπὸ SDW 13 ἐμὲ λιθάζετε SW 14 καὶ ὅτι DW ἑαυτὸν P 14/17 ταῦτα — θεόν om. S 16 καὶ om. W ἀνοσιώτατοι W 17 ἑαυτὸν P ἀνόητε καὶ om. P 18 ἑαυτὸν — ἄνθρωπος om. SW ἐποίησεν ἑαυτὸν θ̅ν̅ D 19 ἀσυγχήτωσ P θ̅ῦ καὶ SDW ἔχων ἀπόρρητον V 20 σώση VP 21 ἔμεινε VP 22 ὁμολόγησαι V θ̅ν̅ εἶναι P ἐνανθρωπήσαντα SDW 22/23 παρίστησί σοι VP 23 μὲν γὰρ SD μὲν W 24 μωσέοσ D μωυσέως S μωυσέοσ W μαρτυροῦντας SDWΛ μάρτυρασ VP 25 δεικνύων χειρὶ V 28 καὶ μετὰ SDWΛ$^t$ μετὰ VΛ$^c$ μετὰ δὲ P 29 ἡμῶν om. SDW 30/31 κήρυκος καὶ βαπτιστοῦ SD 31 τὰσ ὁδούσ VP κυρίωι Λ$^c$ 32 ἡμῶν om. S ὁ om. Sn 34 τὸν τῆσ γεννήσεωσ SDW

Ps. 131, 3-5 ἔστιν οὖν ἀκοῦσαι λέγοντος αὐτοῦ· εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ
δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ
ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως τί καταλάβηις; ἕως οὗ εὕρω τόπον τῶι
κυρίωι, σκήνωμα τῶι θεῶι Ἰακώβ. πολυπραγμονεῖς τὸν τρόπον, ὦ μακάριε
Δαυίδ; ἀποδέχομαι τὴν προθυμίαν, ἐπαινῶ τὴν ὑπομονήν· ἀλλ' εἴ τι μεμάθηκας πλέον,
ἀπάγγειλον καὶ ἡμῖν. ποῦ ἔσται ἡ γέννησις καὶ εἰς ποῖον ἄρα γενήσεται χῶρον, ἄκουε
Ps. 131, 6 σαφῶς λέγοντος· ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς
πεδίοις τοῦ δρυμοῦ. Ἐφραθᾶ δὲ λέγων σημαίνει τὴν Βηθλεέμ. καὶ μαρτυρήσει
Micha 5, 2 λέγων ὁ θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· καὶ σύ, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ,
ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται
τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῶι Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ
ἡμερῶν αἰῶνος. ἀκούεις ὅτι τὸν Βηθλεεμίτην καθὸ γέγονεν ἄνθρωπος, ἀπ' ἀρχῆς
Ioh. 1, 1 αἰῶνος τὰς ἐξόδους ἔχειν διισχυρίζεται; ἐν ἀρχῆι γὰρ ἦν ὁ λόγος. ἀλλὰ αἰσχύνομαι,
φησί, θεὸν ὁμολογῆσαι τὸν ἐν γυναικὸς γεγεννημένον. ἐπιτιμᾶις οὖν, εἰπέ μοι, τοῖς
θείοις σκέμμασιν; ἀθετεῖς τὴν οἰκονομίαν; ἐπιπλήττεις ταῖς τοῦ δεσπότου βουλαῖς; οὕτως
ἠθέλησε διασῶσαι τὴν οἰκουμένην· μὴ σοφώτερος εἶ τῆς σοφίας; ὦ παραδόξου πραγ-
ματος, λύχνος ἡλίωι φιλονεικεῖ. οἶδε τῶν ἰδίων ἔργων τὴν ὁδὸν ὁ τῶν ὅλων δεσπότης.
PG 1001 παραδέχου τοίνυν τὴν οἰκονομίαν· τίμησον τῆι πίστει τὸ μυστήριον· μὴ περιεργάζου τὰ
ὑπὲρ νοῦν· μὴ πολυπραγμόνει τὰ ὑπὲρ λόγον· πίστευε μεθ' ἡμῶν. εἰ δὲ μένεις ἀπει-
θής, ἐκεῖνος πιστὸς μένει καὶ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. αὐτῶι ἡ δόξα καὶ
τὸ κράτος σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

**76** = S 78. Latina uersio extat in Collectione CT 51

Τοῦ ἁγίου Κυρίλλου ἐξήγησις λεχθεῖσα ἐν Ἐφέσωι ἐν τῶι ἁγίωι Ἰωάννηι τῶ εὐαγγελιστῆι

L III 1022
M V 217 Τῆς μὲν τῶν ἁγίων εὐκλείας τε καὶ δόξης ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ
PG 77, 985-988 φωστῆρες ἐν κόσμωι λόγον ζωῆς ἐπέχοντες κατὰ τὸ γεγραμμένον· ὅταν δὲ τὰ
Phil. 2, 15. 16 θεῖα λαλῶσι μυστήρια, πρέποι ἂν παρὰ πάντων λέγεσθαι πρὸς αὐτούς· οὐχ ὑμεῖς ἐστὲ
Mt. 10, 20 οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν. διεκήρυξαν
γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινόν, τὴν ζωὴν τὴν αἰώνιον, ὧι καὶ ἡμεῖς λέγομεν
Ps. 65, 4 κατὰ τὴν φωνὴν τοῦ μακαρίου Δαυίδ· πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ
M V 220 ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῶι ὀνόματί σου. ἔτι μὲν γὰρ τῆς διὰ Μω-
Ps. 75, 2 σέως κρατούσης ἐντολῆς, οὔπω τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκομισμένων, γνωστὸς
Exod. 4, 10 ἦν ἐν τῆι Ἰουδαίαι ὁ θεός, ἐν τῶι Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. ἰσχνόφωνος

---

V, P [= hk], S [praeter 8—21], D [= mn], WΛᵗΛᶜ

1 αὐτοῦ om. Λᶜ   μου om. S   2/3 καὶ ἀνάπαυσιν — καταλάβηις om. S   3 τόπον om. V   4 τρόπον VPSW τόκον DΛ   ὦ om. SW   5 πλέον P πλεῖον V *amplius* Λ om. SDW   6 ἔσται VΛ ἔστιν PSDW   ποίαν — χώραν VP   7. 8 εὐφρανθᾶ SD   8 παιδίοισ VP, corr. V   λέγων] desinit S propter folii defectum   μαρτυρήσει] μαρτυρεῖ σοι W   9 λέγων om. VP   ὁ om. P   ἁγίων om. P   εὐφρανθᾶ D   10 μὴ ὀλιγοστὸσ Pm   εἶ τοῦ om. P   ταῖσ χιλιάσιν P   γάρ om. V   12 τὴν βηθλεέμ τὴν P   16 σῶσαι W   17 οἰκείων V   18 τίμησον ἐν DW τιμήσωμεν Λ   20 καὶ ἀρνήσασθαι DWΛ ἀρνήσασθαι γὰρ VP   21 σύν — πνι VPΛ om. m νῦν καὶ n νῦν καὶ ἀεὶ καὶ W   21 τῶν αἰώνων PDΛ om. VW   ἀμήν om. W

inscr. τοῦ ἁγίου [αὐτοῦ ἁγίου W] κυρίλλου — ἐν τῶι [τῶ om. W] ἁγίω — εὐαγγελιστῆ SDW   *Eiusdem dicta in Iohannis euangelistae basilica* [*sermonibus* Λᵗ]Λᵗᶜ τοῦ αὐτοῦ εἰσ τὰ τοῦ ἁγίου εὐαγγελισμοῦ P   τοῦ αὐτοῦ ὁμιλία ῥηθεῖσα ἐν ἡμέρα ιω τοῦ εὐαγγελιστοῦ V   ος V ΞΖ P οε' D   25 ὅταν δὲ] ὅθεν Λᶜ   26 λαλοῦσι Λᶜ   πρέποι ἂν SDWΛ πρέπων ἂν P πρέπον ἂν εἴη V   αὐτὸν S   οὐκ ἐστὲ ὑμεῖσ VP   27 τοῦ πατρὸς ὑμῶν Λᶜ   28 ἐν ἡμῖν S   30 τὸ ὄνομά P σου ὕψιστε SD   ἔτι Λ ἐπὶ VPSDW   31 κρατούσης om. VP   32 τῶι Ἰσραήλ] τῆ ἱερουσαλὴμ D

γὰρ καὶ βραδύγλωσσος ἦν ὁ Μωσῆς· διὰ τοῦτο καὶ κατὰ μόνην ἠκούετο τὴν Ἰουδαίαν ὁ νόμος. ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινὸν καὶ παραπλησίως ἡμῖν μετέσχεν [Hebr. 2, 14] αἵματος καὶ σαρκὸς θεὸς ὢν ὁ λόγος, μεστὰ γέγονε τὰ πάντα αὐτοῦ. πανταχοῦ ναοὶ καὶ θυσιαστήρια· πανταχοῦ χορευταὶ καὶ προσκυνηταὶ καὶ ποιμένες ἀγαθοὶ καὶ λογικῶν θρεμμάτων ἀγέλαι. στενὰς ἀποφαίνουσαι τῶι πλήθει τὰς ἱεράς αὐλάς. πρὸ μὲν γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας τὸ ἐπὶ γῆς ἐπλανᾶτο γένος· ἐλάτρευον τῆι κτίσει παρὰ [Rom. 1, 25] τὸν κτίσαντα· προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν καὶ τῶν πλανωμένων ἑκάστωι θεὸς ἦν τὸ δοκοῦν· ἀλλ' ἐπέφανεν ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ ποιμὴν ὁ καλός, ὁ ἀμνὸς ὁ ἀληθινός, ὃν ἡ ἁγία θεοτόκος καὶ ἀπειρόγαμος ἐκ παρθενικῶν ἡμῖν λαγόνων ἀπεκύησε βλάστημα ζωοποιόν, τὸν ἐνανθρωπήσαντα θεόν, τὸν ἐλεύθερον ἐν δούλου μορφῆι, τὸν καθ' ἡμᾶς δι' ἡμᾶς καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν, τὸν ἐν ὑφέσει τῆι καθ' ἡμᾶς καὶ ἐν δόξηι θεοπρεπεῖ, τὸν ἑαυτὸν ταπεινώσαντα καὶ σύνθρονον [Phil. 2, 7] τῶι πατρί, τὸν ἑαυτὸν κενώσαντα καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς ἁγίοις [Ioh. 1, 16] τὰ ἀγαθά, τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως καὶ προσκυνούμενον ὡς θεόν, οὐκ ἐν γῆι μόνον, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς. ὅταν γάρ φησιν, εἰσαγάγηι τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες [Hebr. 1, 6] ἄγγελοι θεοῦ. τίς οὖν ἄρα ἐστὶν ὁ εἰσβεβηκὼς εἰς τὴν οἰκουμένην; τίνα δὲ ὅλως εἰσκεκόμισται τρόπον; μυσταγώγησον, εὐαγγελιστά, εἰπὲ καὶ νῦν, ὦ μακάριε Ἰωάννη· υἱὸς [L III 1023] ἐπεκλήθης βροντῆς, μέγα τι καὶ ἐξαίσιον κατεκτύπησας τὴν ὑπ' οὐρανόν· ἀθανάτους ἔχεις [Mc. 3, 19] φωνὰς καὶ λήθη καὶ χρόνος τοῖς σοῖς παραχωροῦσι λόγοις. ἰδοὺ τοσαύτη ποιμένων ἄθροισις ἥκει παρὰ σοί· ἀποκύλισον ἡμῖν τὸν λίθον ὡς ὁ μακάριος Ἰακὼβ τοῖς ποιμέσιν. [Gen. 29, 10] ἀποκάλυψον ἡμῖν τὸ φρέαρ τῆς ζωῆς· δὸς ἀρύσασθαι καὶ νῦν ἐκ τῶν τοῦ σωτηρίου πηγῶν, μᾶλλον δὲ τὴν σὴν ἡμῖν παράθες πηγήν. οὐκοῦν ἀκούσωμεν λέγοντος· ἐν [Ioh. 1, 1] ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος· οὗτος [PG 989] ἦν ἐν ἀρχῆι πρὸς τὸν θεόν. ἀλλ' ὅτι μὲν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπόρρητον ἔχει τὴν ἐκ πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν· προστίθει τὸ λεῖπον ἡμῖν, ὦ εὐαγγελιστά. ἄκουε πάλιν λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν ἄνθρωπος· γέγονε δὲ [Ioh. 1, 14] ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεός, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος ἡ τοῦ λόγου φύσις καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀποσκίασμα. ταῦτα φρονεῖν ἐδίδαξεν [Iac. 1, 17] ἡμᾶς ὁ μακάριος εὐαγγελιστής, τὸ ἄστρον ἀληθῶς τὸ μέγα καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον, οὐ τοῖς τὴν αἰσθητὴν διαπεραιουμένοις θάλασσαν, ἀλλὰ τοῖς τῆς εὐσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἔχειν ἐθέλουσι καὶ ἀπλανῆ τὴν πίστιν. εἴ [M V 221] τις οὖν ἐρᾶι τοῦτον ναυτίλλεσθαι τὸν τρόπον, ἄστρον ὥσπερ εἰς νοῦν ἐχέτω τὰς τοῦ θεηγόρου φωνάς· οὕτω τὰ πικρὰ τῶν αἱρέσεων διαπηδήσει κύματα· οὕτως εἰσ εὔδιον

V, P [= hk], S, D [= mn], WΛ[t]Λ[c]

1 μωυσῆσ VP τὴν ἰουδαίαν ἠκούετο D 2 νόμος VPWΛ θσ̄ SD ἔλαμψε VP 3 μεστὰ om. P 6 τὸ — γένος SDWΛ ἐπὶ γῆσ ἐπλανᾶτο τὸ γένοσ ἡμῶν VP *colebant enim* Λ 7 προσκεκυνήκασι PSDWΛ[t] προσκεκυνήκασι γὰρ VΛ[c] 9 καὶ ἀπειρόγαμοσ SDWΛ μαρία VP ἡμῖν om. VP 10 ἀπεκύησε — ζωοποιόν SDW ἐβλάστησε τὸ ζωοποιὸν βλάστημα VP 11 δι' ἑαυτὸν VP om. SDWΛ τὸν ἐν om. P 12 ὑφέσει] τῆ φύσει S φύσει W τῆι om. P θεοπρεπῆ Λ 13 ἁγίοισ PΛ ἀξίοισ SDW ἰδίοισ V 15 φησὶν om. VPW 15/16 πρωτότοκον αὐτοῦ P 18 τρόπον εἰσκεκόμισται VP 19 ἐκλήθης VP 20 καὶ[1] om. W 21 ἦλθε VP σέ P 22 ἀποκάλυψον ἡμῖν SDW ἀποκάλυψον V ἀπεκάλυψε PΛ 23 παράθεσ ἡμῖν VP πίστιν καὶ πηγὴν V ἀκούσωμεν V ἀκούσομέν σου P ἀκούωμεν n ἀκούομεν SmW 25 θεὸν] πατέρα SDW 26 ἔχη P τοῦ π̄ρ̄σ̄ SD λεῖπον ἡμῖν SDWΛ λοιπὸν VP 27 ἐγένετο οὐκ ἐν ἀνθρώπω γέγονεν ἀλλὰ σὰρξ γέγονεν V 28 ἀλλὰ καὶ SDWΛ ἀλλ' VP 29 μεμενικὼσ P 32 διαπορευομένοις VP θάλατταν SD 33 τὴν ὀρθὴν P ἐθέλουσιν ἔχειν VP τὴν om. VP 34 ἐρᾶ SDWΛ αἱρεῖται VP ναυτίλλασθαι D ἀνατέλλεσθαι VP ὥσπερ ἄστρον V 35 θεηγόρου θεολόγου V

κατανтήσει λιμένα καὶ πρὸς αὐτὴν ἥξει τὴν ἀλήθειαν, τουτέστι Χριστόν· μεθ' οὗ τῶι πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

**77** = S 81. Latina uersio extat in Collectione CT 54

L III 979
M V 177 ʽΟμιλία τοῦ αὐτοῦ ἐν Ἐφέσωι, ὡραία πάνυ

PG 77, 981 Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι σεσοφισμένην ἔχουσι τὴν καρδίαν ἔργων τε
PG 984 ἀγαθῶν ἐπιστήμονα καὶ ὀρθῆι πίστει λαμπρυνομένην, τὸ δὲ γνώσεως τῆς ἀληθοῦς ἐρᾶν
ζωὴν ἔχει τὸ τέλος. καὶ πληροφορήσει πρὸς τοῦτο ἡμᾶς αὐτὸς ὁ σωτὴρ πρὸς τὸν ἐν
Ioh. 17, 3 οὐρανοῖς πατέρα καὶ θεὸν οὕτως λέγων· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώ-
σκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.
οὐκοῦν συμπαρέζευκται τῆι περὶ τοῦ πατρὸς γνώσει καὶ ἡ περὶ τοῦ υἱοῦ, καὶ οὕτως ἐστὶ
τὸ πρᾶγμα ζωοποιοῦν· ὅταν δὲ χωρίζηται τοῦ ἑτέρου τὸ ἕτερον, χωλεύει πάντως ἡ γνῶσις.
Ioh. 8, 19 οὕτω καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἰουδαίων δήμοις προσεφώνει λέγων· οὔτε
ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν
ᾔδειτε. καὶ πάλιν ἐνόμιζον οἱ Ἰουδαῖοι τοὺς ἑαυτῶν πατέρας ἐν τῶι ὄρει τὸν φύσει
L III 982 τε καὶ κατὰ ἀλήθειαν ἑωρακέναι θεόν, ὅτε καταβέβηκεν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ
Σινᾶ· ᾤοντο γὰρ κατὰ ἀλήθειαν ἀκηκοέναι τῆς φωνῆς αὐτοῦ. ταύτης ἕνεκα τῆς αἰτίας
τεθαυμάκασι μὲν τὸν ἱεροφάντην Μωσέα, κατασμικρύνοντες δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν
Ioh. 9, 29 Χριστὸν διὰ τὸ ἀνθρώπινον ἀνοσίως ἔφασκον· ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν
Ioh. 5, 37 38 ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. τί οὖν πρὸς ταῦτα Χριστός; ἀμὴν
λέγω ὑμῖν, οὔτε εἶδος αὐτοῦ πώποτε ἑωράκατε οὔτε φωνὴν αὐτοῦ ἠκούσατε
καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος,
τούτωι ὑμεῖς οὐ πιστεύετε. ἀληθεύει δὲ πάντως ἡ ἀλήθεια. οὐ γὰρ ἦν ἐν τῶι
Exod. 19, 18. 19 ὄρει Σινᾶ φύσις θεοῦ ἡ δρωμένη, πῦρ δὲ μᾶλλον (ἐγίνοντο δὲ καὶ φωναὶ τῆς σάλπιγγος,
καπνοὶ δὲ ἦσαν ἐξαπτόμενοι) καὶ τῆς ἀληθείας οἱ τύποι προαναφαίνοντες τὴν ἀλήθειαν.
καταβέβηκε γὰρ ὁ τῶν ὅλων θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος Σινᾶ. καὶ διὰ ποίαν
αἰτίαν ἐν εἴδει πυρός; ἐπειδὴ γὰρ ἔμελλεν αὐτοῖς ὁρίζειν τὸν νόμον, ἐν εἴδει πυρὸς τότε
δὴ μάλιστα χρησίμως ἐφαίνετο καταβεβηκώς, ἵνα γνῶσιν οἱ παραβαίνοντες ὅτι πρὸς πῦρ
ἔχουσιν. οὕτω καὶ ὁ μακάριος Μωυσῆς σωφρονεστέρους ἀποτελῶν τῶι φόβωι τοὺς
Deut. 4, 24 ἁμαρτάνοντας προσεφώνει πλειστάκις· ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν.
ἐγίνοντο δὲ καπνοὶ καὶ σκότος, τοῦ μὲν σκότους τὸ ἀκατάληπτον τῆς περὶ θεοῦ γνώσεως
ἀστείως ἡμῖν ὑπεμφαίνοντος, τοῦ δὲ καπνοῦ διδάσκοντος αἰνιγματωδῶς ὅτι τοῖς καταφρο-
νεῖν ἐθέλουσι τῶν θείων νόμων πάντηι τε καὶ πάντως ἀκολουθήσει τὸ δάκρυον· δακρύειν γὰρ

---

V, P [= hk], S [inde a 22 — τωι ὑμεῖς οὐ], D [= mn], WΛᵗΛᶜ

4—21/22 ἐκεῖνος, τοῦ — om. S propter folii defectum, cf. p. 94, 8   4 ὁμιλία — πάνυ V τοῦ αὐτοῦ ἐν ἐφέσω P τοῦ αὐτοῦ κυρίλλου D τοῦ αὐτοῦ ἁγίου κυρίλλου W   οζ̄ V ξη P οη' D   6 λελαμπρυσμένην VP   7 αὐτὸς ἡμᾶσ W ὑμᾶσ P   7/8 πρὸς — θεὸν om. P   10 περὶ¹] παρὰ P ἔσται P   11 ζωοποιόν VP   12 ὁ χσ DW   προσφωνεῖ W   14 ἐνόμιζον om. W   15 τε om. VP   υἱὸν καὶ θν̄ V   ἐπὶ DW πρὸσ VP   16 ἀκοῦσαι P   18 ἀνθρώπινον ἀνοσίως] ἄνον θεᾶσθαι P   μωυσῆ W   19 ὁ χσ̄ VP   ἀμὴν ἀμὴν DW   20 τὴν φωνὴν DW   ἀκηκόατε P   21 ἐν ὑμῖν μένοντα P   22 δὲ] γὰρ P om. Λ   23 πῦρ δὲ μᾶλλον SDWΛ ἀλλὰ πῦρ [πυρὸσ P] VP   24 δὲ om. VP   ἐξαπτόμενοι VSDWΛᵗ ἐξελιττόμενοι PΛᶜ   25 καταβέβηκε SDW κατέβη μὲν VP   25/26 ἐπὶ τὸ — νόμον ἐν εἴδει πυρὸς om. P   25 τὸ ὄρουσ τὸ V   26 ἐπειδὴ — πυρὸς om. W   ὁρίζειν αὐτοῖσ V   27 δὲ W   μάλιστα om. W   χρησίμως] ὅτε P   καταβεβηκὼς ἐφαίνετο P ἐφαίνετο WΛ   μάθωσιν P   28 μωσῆσ W   29 καταναλίσκων P   30 δὲ καὶ PΛ   31 ὑποφαίνοντος SDW   32 λογίων P   ἀκολουθήσει τὸ δάκρυον πάντη — πάντωσ P

ἀνάγκη τὸν τοῦ σώματος ὀφθαλμὸν ἐν καπνῶι. οὐκοῦν Ἰουδαῖοι μὲν οὐ τεθέανται τὸ
εἶδος τοῦ πατρός, ἡμεῖς δὲ αὐτὸ ἐθεασάμεθα ἐν Χριστῶι. ἔστι γὰρ αὐτὸς τὸ ἀκραι-
φνέστατον κάλλος τοῦ γεγεννηκότος, ὁ χαρακτὴρ καὶ τὸ ἀπαύγασμα. εἰ γὰρ καὶ ἐπελά- Hebr. 1, 3
βετο σαρκὸς καὶ αἵματος θεὸς ὢν ὁ λόγος καί κεχρημάτικεν υἱὸς ἀνθρώπου, οὐκ ἄψυχον
οὐδὲ ἄνουν σῶμα λαβὼν καθά φησιν ὁ φρενοβλαβὴς καὶ αἱρετικὸς Ἀπολινάριος, ἀλλ' ἔμεινε
καὶ οὕτω θεός.

Οὕτω τοῖς ἁγίοις πατράσιν ἀπεκάλυπτε κατὰ καιροὺς τὸ ἑαυτοῦ μυστήριον, καὶ πολλὴ M V 180 PG 985
μὲν λίαν ἡ τούτων ἀπόδειξις ἐν τοῖς ἁγίοις προφήταις, ἐπειδὴ δὲ χρὴ ταμιεύεσθαι, κατὰ
μέρος φέρε δεικνύωμεν ἐκ τοῦ τῆς Γενέσεως βιβλίου ἄνθρωπον ὁρώμενον τὸν υἱὸν καὶ
θεὸν ὀνομαζόμενον. οὐκοῦν ὁ μακάριος Ἰακὼβ τὴν Μεσοποταμίαν ἀφεὶς ἐπὶ τὴν τοῦ
πατρὸς οἰκίαν αὖθις ἠπείγετο καὶ δὴ καὶ τὰς δύο θυγατέρας τοῦ Λάβαν ἀναλαβὼν καὶ τὰ Gen. 32, 22
ἐξ αὐτῶν αὐτῶι γεγονότα παιδία, διεβίβασεν αὐτὰ τὸν Ἰαβώκ, ὄνομα δὲ τοῦτο χειμάρρου.
ἀλλ' ὥς φησιν ἡ θεόπνευστος γραφή, διαβιβασθέντων τῶν παιδίων καὶ τῶν γυναικῶν
ὑπελείφθη Ἰακὼβ μόνος καὶ ἐπάλαιε μετ' αὐτοῦ ἄνθρωπος ἕως πρωΐ. καὶ Gen. 32, 24-26
εἶδεν ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ,
καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῶι παλαίειν αὐτὸν μετ'
αὐτοῦ. καὶ εἶπεν, φησίν, ὁ ἄνθρωπος ὁ παλαίων μετὰ τοῦ Ἰακώβ· ἀπόλυσόν με·
ἀνέβη γὰρ ὁ ὄρθρος. ὃ δὲ εἶπεν· οὐ μή σε ἀπολύσω, ἐὰν μή με εὐλογήσῃς.
καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Gen. 32, 29. 30
Εἶδος θεοῦ. εἶδον γάρ, φησί, θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη L III 983
μου ἡ ψυχή. ὢ σοφίας ἁγιοπρεποῦς· ἄνθρωπον ὁρᾶι τὸν παλαίοντα μετ' αὐτοῦ καί
φησιν ὁ πατριάρχης· εἶδον θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ
ψυχή. συνῆκε γὰρ εὐθὺς τῆς ἐνανθρωπήσεως τὸ μυστήριον ἀποκαλύπτοντος αὐτῶι
τοῦ ἁγίου πνεύματος. πλὴν ἐκεῖνο ἐπιτήρει. ὅλην τὴν νύκτα ἐπάλαιε μετ' αὐτοῦ·
ὡς δὲ ἐγένετο ὄρθρος, ἀπόλυσόν με, φησίν, ἀνέβη γὰρ ὁ ὄρθρος. τί οὖν ἄρα
σημαίνει τὸ αἴνιγμα; τοῖς ὡς ἐν σκότει καὶ νυκτὶ διάγουσι καὶ τὴν τῆς ἀγνωσίας ἀχλὺν
εἰς νοῦν ἔχουσι καὶ καρδίαν παλαίει καὶ μάχεται Χριστός, ἐχθροὺς γὰρ ἡγεῖται· ὅταν δὲ
αὐτοῖς ἀνατείληι κατὰ τὸν νοῦν ὁ νοητὸς ἑωσφόρος, ὅταν οἷά τις ἡμέρα τὸ τῆς ἀληθοῦς
θεογνωσίας αὐτοῖς διαυγάσηι φῶς, τότε καταλύει τὴν μάχην. παλαίει μὲν γὰρ καὶ μά-
χεται τοῖς ὡς ἐν νυκτὶ καὶ σκότωι, τοῖς ἀφεγγῆ καὶ ἀφώτιστον ἔχουσι τὴν καρδίαν·
οὐ μάχεται δὲ τοῖς ἐν φωτὶ γεγονόσι, τοῖς τὸν νοητὸν ὄρθρον ἔχουσι κατὰ νοῦν. δέ-
χου τοίνυν, ἄνθρωπε, τὸν νοητὸν ἑωσφόρον· διαυγαζέτω σοι τῆς ἀληθείας τὸ φῶς· παῦσαι
μαχόμενος τῶι Χριστῶι. οὐκ οἶδεν ἡττᾶσθαι, νικᾶι δὲ ἀεὶ καὶ πάντως. εἰ καὶ γέγονε νῦν
ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι φύσει θεός,
ἄτρεπτος καὶ ἀναλλοίωτος ὤν. ὁ αὐτὸς οὖν ἄρα καὶ ἐκ πατρὸς ὡς λόγος καὶ ἐκ γυ-

---

V, P [= hk], S, D [= mn], W Λ'Λc

2 τεθεάμεθα SDW  3/4 ἐπελάβετε S  4 σαρκόσ δι' ἡμᾶσ V  ὁ om. W  5 ἀπολλινάριοσ VS  7 ἁγίοις om. P  ἀποκεκάλυπται P  καιρόν P  11 οἰκείαν W  τοῦ λάβαν ἀναλαβὼν θυγατέρασ V τοῦ λάβαν θυγατέρασ P  12 αὐτὰ om. V  τὸν ἰαβώκ V τὸν ἰαβώχ P τὸ ναβόκ W τὸν ἰακώβ S τῶ ἰακώβ D  τούτω SD τοῦ W  13 παίδων W τέκνων VP  14 κατελείφθη P  ἄνθρωποσ μετ' αὐτοῦ VP  15 οἶδεν P  17 μετὰ τοῦ ἰακώβ SDW μετὰ ἰακώβ V μετ' αὐτοῦ P  ἀπόλυσόν VP ἐξαπόστειλόν SDW  18 με om. SΛc  19 ἐκείνου om. VP  20 φησί om. Λ  20/21 ἡ ψυχή μου S μου ἡ ψυχή· εἶδον φησὶ θν̄ πρόσωπον πρόσ πρόσωπον P  22 ὁ πατριάρχης om. P  22/23 καὶ — ψυχὴ om. P  23 τὸ τῆσ ἐνανθρωπήσεωσ SDW  25 γέγονεν P  ὁ ὄρθρος V  οὖν] δὴ P  ἄρα om. W  26 ὡς om. W  ἀγνωσίας] ἀληθείασ P  29 γνώσεωσ PW  αὐτοῖς om. W  πάλην P  30 ὡς om. D  τοῖς om. PΛ  ἀφευγῆ S  τὴν om. P  33 καὶ om. P  πάντωσ πάντασ V πάντασ P  33/34 εἰ καὶ γέγονε νῦν ἄνθρωπος Λ εἰ καὶ γέγονεν υ̅σ̅ ἀνθρώπου SDW γέγονε τοίνυν ἄνθρωποσ VP  35 τε καὶ VD  ὁ om. P

1 Cor. 8, 6 ναικὸς ἄνθρωπος κατὰ σάρκα. εἷς γὰρ θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς
κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ὧι τὰ πάντα·
αὐτῶι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

**78** = S 79. Latina uersio extat in Collectione CT 52

L III 668
Τοῦ αὐτοῦ κατὰ Ἰωάννου τοῦ Ἀντιοχείας

M IIII 1337
PG 77, 1001 Τῆς εἰς θεὸν ἀγάπης τὴν δύναμιν παρὰ τῆς θείας δεδιδάγμεθα γραφῆς, οὐδὲν
Ioh. 12, 26 δὲ ἧττον καὶ αὐτὸς ἡμᾶς ὁ σωτὴρ ἐδίδαξε λέγων· ὁ ἐμὲ ἀγαπῶν ἐμοὶ ἀκολουθείτω,
καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔστω. δεῖ γὰρ ἡμᾶς ἀεὶ
συνεῖναι, φιλεῖν, ἀκολουθεῖν τῶι πάντων ἡμῶν σωτῆρι Χριστῶι καὶ κατὰ μηδένα τρόπον
αὐτοῦ χωρίζεσθαι, καὶ τοῦτο τηρήσομεν διὰ τοῦ βούλεσθαι τὰ αὐτοῦ. τοῦτο πεπλήρωκεν
ὁ λαμπρὸς οὗτος καὶ μέγας τῶν ἱερέων χορός, περὶ ὧν ἂν λέγοιτο καὶ σφόδρα δικαίως
Ies. 34, 15. 16 τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς· ἐκεῖ ἔλαφοι συνήντησαν καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων· ἀριθμῶι παρῆλθον καὶ μία αὐτῶν οὐκ ἀπώλετο· ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι κύριος ἐνετείλατο αὐταῖς καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς. οὐ γὰρ κοινοῦ τινος ἕνεκα πράγματος ἢ γοῦν ἐπιγείου τυχὸν ἡ τῶν νοητῶν ἐλάφων ἐνθάδε γέγονε συνδρομή· ἐπειδὴ δὲ καθάπερ ἐν κήπωι καλῶι καὶ εὐανθεστάτωι, φημὶ δὴ τῆι τοῦ σωτῆρος ἡμῶν ἐκκλησίαι δεινός καὶ παγχάλεπος ὤφθη δράκων, οὐ μίαν ἔχων, ἀλλὰ πολλὰς ἐν ἑνὶ σώματι κεφαλάς, χρησιμωτάτη καὶ ἀναγκαία γέγονεν ἡ τῶν νοητῶν ἐλάφων ἄθροισίς τε καὶ παρουσία, ἵνα τῆς τῶν ἰοβόλων σκαιότητος τὸ δεσποτικὸν ἀπαλλάξηι χωρίον. οὐκοῦν τὸ τοῦ θεοῦ πνεῦμα συνήγαγεν αὐτὰς καὶ ὁ
Ioh. 12, 26 κύριος ἐνετείλατο αὐταῖς. τί δὲ ἐνετείλατο; ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκο-
M IIII 1340 νος ὁ ἐμὸς ἔστω. οὐκοῦν· πρὸς σὲ γάρ μοι νῦν ὁ λόγος τὸν ὑψηλὴν κατὰ πάντων αἴροντα τὴν ὀφρύν, τὸν ἐκ τῶν Ἀνατολικῶν ἥκοντα κλιμάτων· εἰ πάντες ἐσμὲν λειτουργοὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, εἰ πεπιστεύμεθα τὴν διακονίαν τῶν αὐτοῦ κηρυγμάτων, διὰ τί μὴ πάντες ἐσμὲν μετ' αὐτοῦ τῶι βούλεσθαι φρονεῖν τὰ αὐτοῦ; ἐπῆρεν, ὡς ὁρᾶις, ὁ πολυκέφαλος δράκων τὴν ἀνοσίαν καὶ βέβηλον κεφαλὴν τοῖς τῆς ἐκκλησίας τέ-
Eph. 6, 17 κνοις τὸν τῆς ἰδίας ἀνοσιότητος ἰὸν ἐπιπτύων· ἔρχομαι κατ' αὐτοῦ τὴν τοῦ πνεύματος ἀπογυμνώσας μάχαιραν· μάχομαι διὰ Χριστὸν τῶι θηρίωι· διὰ τί μὴ συγκάμνεις καλῶς πονεῖν ἐθέλοντι; διὰ τί μὴ συμπαρέστηκας καὶ αὐτός; βαλλέσθω τῆι πάντων χειρί· κοινὸν ἡγησώμεθα τὸν ἀγῶνα, ἵνα καὶ ὁμοῦ νικήσαντες ἀναφέρωμεν τὰς εὐχαριστίας τῶι

---

V, P [= hk], S, D [= mn], WΛᵗΛᶜ
1 ἄνθρωποσ VPΛ ὡσ ἄνθρωποσ SD ὡσ ἄσαρκοσ W    ὁ θσ̄ καὶ VP    2 καὶ ἓν — πάντα om. PΛ
3 αἰῶνασ τῶν αἰώνων VDΛ

V, P [= hk], S, D [= mn], WR ΛᵗΛᶜ
οη̄ V ξ̄θ P ος' D    5 τοῦ — τοῦ [ἐπισκόπου P] ἀντιοχείας VPΛᵗ τοῦ αὐτοῦ [τοῦ αὐτοῦ ἁγίου R om. W] κυρίλλου [κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ WR] κατὰ τοῦ ἀποσχίσαντοσ ἰω̄ τοῦ [τοῦ τῆσ W ἐπισκόπου R] ἀντιοχείας SDWR *eiusdem contra Iohannem Antiochenum de his qui se separauerunt* Λᶜ    6 θν̄ VPRΛ χν̄ SDW    7 ἡμᾶς om. R    ἐδίδαξεν ὁ σωτὴρ SPW    ἐδίδασκε R    8 ἐστὶν R    9 φιλεῖν ἀκολουθεῖν VRΛ φιλεῖν καὶ ἀκολουθεῖν P καὶ φιλεῖν ἀκολουθεῖν SD καὶ φιλεῖν ἀκολουθεῖν τὲ W    ἡμῶν om. SD    10 καὶ — τηρήσομεν om. VP    τηρήσομεν Λ τηρήσωμεν SDWR τὸ VPS    βουλεύεσθαι mW    τετήρηκεν R    11 καὶ μέγας om. Λ    ἱερῶν VR    ὃν P *dicetur nunc* Λᶜ    καὶ om. VP    14 ἐζήτησαν VP ἐζήτησεν SDWRΛ    ὁ κσ̄ PS    15 ἕνεκεν PS om. R    ἢ γοῦν — τυχὸν om. SD    γοῦν om. V    16 γέγονεν ἐνθάδε VP    ἀλλ' ἐπειδὴ VP 17 εὐανθεστάτω VPRΛ εὐανθεῖ SDW    17 τῆσ — ἐκκλησίασ R    18 ἐν om. S    ἑνὶ om. W    20/21 καὶ — αὐταῖς om. R    21 ὅτι ὅπου S    23 ἀποστολικῶν R    ὑπουργοὶ VPR    24 πάντων ἡμῶν om. V    εἰ DRΛ καὶ VPSW    25 ἐσμὲν ὑπουργοὶ V    τοῦ βούλεσθαι καὶ D    26 ἀνόσιον V 28 ἀπογυμνων R    29 ποιεῖν PS    παρέστηκας D    τῇ SWΛ τῇ παρὰ DR παρὰ VP    30 ἡγησόμεθα S    φέρομεν W

σωτῆρι λέγοντες· σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· σὺ συνέτριψας [PG 1004] τὰς κεφαλὰς τοῦ δράκοντος. ἀλλ' ἡμεῖς μὲν οἱ γνήσιοι τοῦ σωτῆρος ἱερουργοί, [Ps. 88, 11; Ps. 73, 13] οἱ τῶν αὐτοῦ μυστηρίων οἰκονόμοι, πολεμιωτάτους ἡγούμεθα τοὺς καταφλυαροῦντας τῆς δόξης αὐτοῦ· σὺ δὲ οὐχ οὕτως, πόθεν; ὅτι γὰρ οὐ προσέρχηι γνησίως, αὐτά σε διελέγχει τὰ πράγματα. ὁρᾶις ἡμᾶς ὡς ἐν πολέμωι κεκονιαμένους, ἔτι καταστάζοντας τὸν ἐκ τῆς μάχης ἱδρῶτα, εὐψυχίας πνευματικῆς καὶ παρακλήσεως δεομένους, μᾶλλον δὲ ἤδη νενικηκότας· σὺ δὲ ὁ τεταγμένος εἰς ἀδελφούς, ὁ Χριστὸν δεσπότην ἐπιγραφόμενος, ὁ [L III 669] συνοπλιτεύειν ὀφείλων κατὰ τῶν τῆς ἀληθείας δογμάτων τὰ ὅπλα κινεῖς. ὢ παραδόξου πράγματος· οὐχ ἥψω τῆς μάχης· οὐ συνήθλησας τοῖς ἠθληκόσιν· ἔφυγες τὸν τοῦ πολέμου καιρὸν τῶι τῆς ἐλεύσεως βράδει· εἱστήκεις μακρόθεν θεωρῶν τοὺς ἀνδριζομένους· εἶδες πεπτωκότα τὸν ἐχθρόν, ἀτονήσασαν καὶ κεκολασμένην τὴν δύσφημον γλῶτταν, εἶτα ἐλυπήθης. εἰπέ μοι διὰ ποίαν αἰτίαν; ὅτι νενίκηκεν ὁ Χριστός; ὅτι κεκράτηκε τῶν ἀνθεστηκότων; ὅτι σεσίγηκεν στόμα λαλοῦν μεγάλα; ὅτι πέπαυται νόσος τοῖς τῆς ἐκκλησίας ἐγκατασκήπτουσα τέκνοις; ἀλλ' ἦν ἄμεινον ἀνδρίζεσθαι μεθ' ἡμῶν καὶ μὴν κἀκεῖνο λέγειν τὸ διὰ φωνῆς τοῦ Δαυίδ· οὐχὶ τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ [Ps. 138, 21. 22] τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. ἀλλ' οὐδεὶς μὲν ὅλως παρὰ σοὶ τῶν τοιούτων ὁ λόγος, ἐκ δὲ τῶν ἐναντίων κατατοξεύεις τοὺς νενικηκότας καὶ τοῖς ἀπὸ φθόνου βέλεσιν τιτρώσκειν ἐπιχειρεῖς οὓς ἔδει μᾶλλον θαυμάζεσθαι παρὰ σοῦ. ἀλλὰ κἂν αὐτὸς προσέρχηι σκληρῶς, οὐδὲν δεδιότες λέγομεν· βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν καὶ [Ps. 63, 8 9] ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. κἂν ὅπλοις τοῖς ἔξωθεν σαυτὸν περιφράττων καταστρατεύειν ἐπιχειρῆις τῆς συναγωγῆς κυρίου, ἀλλ' ἡμῶν τὰ ὅπλα οὐ [2 Cor. 10, 4] σαρκικά, ἀλλὰ δυνατὰ τῶι θεῶι, καθὰ γέγραπται, δυνατὰ πρὸς καθαίρεσιν ὀχυρωμάτων. γενναιοτέρους εὑρήσεις τῶν παρὰ σοὶ τοὺς Χριστοῦ στρατιώτας· ἔχουσι τὸν θυρεὸν τῆς πίστεως, τὸ τῆς εὐδοκίας ὅπλον, τουτέστι Χριστόν· ἔχουσι θώρακα [Eph. 6, 14. 16. 17] τὴν δικαιοσύνην, τὴν τοῦ σωτηρίου περικεφαλαίαν, τὴν μάχαιραν τοῦ πνεύματος. ὥστε κἂν ἐπέρχηι θρασὺς καὶ δεινὸς καὶ πολλὴν ἔχων τὴν ὑπεροψίαν καὶ κατὰ τὸν ἀλαζόνα Γολιὰθ βαρβαρικαῖς ἀπονοίαις καὶ ἀμαθίαις καθ' ἡμῶν ἐξογκούμενος, ἀλλὰ νικήσει Χριστός, νικήσει δὲ διὰ τῶν ἰδίων ὑπασπιστῶν. πῶς νενίκηκεν ὁ Δαυίδ; πέντε [M IIII 1341] λίθους ἔχων ἐν τῶι καδδίωι, λεῖοι δὲ ἦσαν οἱ λίθοι, καὶ τοῦτο ἦν εἰς τύπον τοῦ [1 Reg. 17, 40] Χριστοῦ. ποῖον γάρ ἐστι τὸ τοῦ Χριστοῦ κάδδιον; ἡ ἐπὶ γῆς ἐκκλησία πολλοὺς ἔχουσα λίθους τιμίους καὶ ἐκλεκτούς, περὶ ὧν καὶ ὁ προφήτης φησὶν ὅτι λίθοι [Zach. 9, 16] ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς. διὰ τούτων τῶν ἁγίων λίθων περιέσται Χριστός. [PG 1005] λεῖοι δὲ ἦσαν, ὡς ἔφην, οἱ λίθοι, ἡ δὲ τῶν λίθων λειότης τὸ ἄληπτον ὑπαινίττεται· ἄληπτον γάρ πως ἀεὶ τὸ λεῖον, ἀνεπίληπτος δὲ τῶν ἁγίων ἡ πολιτεία. οὐκοῦν νικήσει Χριστός,

---

V, P [= hk], S, D [= mn], WRΛ'Λ$^c$

1 σὺ — σὺ om. S ἐταπείνωσας — σὺ om. DW συνέθλασασ VP 2 *draconum* Λ 3 πολεμιώτατοι S 3/4 τῆς δόξης om. R 4 γάρ] δε RΛ 4/5 διελέγχει VPRΛ διελέγξει DW διελέγξη S 5 κεκονισμένουσ R κεκονιμένουσ PS καταστάζοντα R 6 καὶ παρακλήσεως om. W μᾶλλον om. SW δὲ καὶ SDWR 7 σὺ δὲ ὁ] ὁ δε R ἀδελφούς] *nos* Λ$^c$ 9 συνήθλησαι R συνηθληκόσιν D 10 ἀφίξεωσ SDWR εἶδεσ πῶσ V 11 καὶ om. P γλῶσσαν R 13 λαλοῦν SDWRΛ λαλοῦντοσ V λαλοῦν τὰ P 14 ἐγκατασκήψασα W ἐνσκήπτουσα R 16 τοῖσ ἐχθροῖσ PDR τέλειον — μοι] καὶ τὰ ἑξῆσ VP 17 ὁ om. SDW 19 προέρχηι Λ' σκληρὸσ D 20 βέλη SDWΛ 20/21 καὶ — αὐτῶν om. SDW 21 καὶ S ἑαυτὸν SDW 22 περιφράττεισ R στρατεύειν P ἐπιχειρεῖσ PnR κατὰ τῆσ P 23 δυνατὰ¹ VPΛ' δυνατὰ δὲ SDWRΛ$^c$ 24 τοὺσ τοῦ χυ̅ SDW 25 τὸν θώρακα SDW 26 τῆσ δικαιοσύνησ DRΛ$^c$ σωτηρίου] σταυροῦ V 27 καὶ³ om. W 29 θεραπόντων καὶ ὑπασπιστῶν R 30 καδίω PSR καὶ τοῦτο om. D ε.σ τύπον ἦν SD ἦν] *fecerat* Λ$^c$ τοῦ om. VPWR 31 τὸ om. VPR κάδιον PSR 32 ὅτι om. VP 33 τίμιοι καὶ ἅγιοι V τῆς om. W τῶν λίθων τῶν ἁγίων SDW ὁ χσ̅ SDW 34 οἱ λίθοι ὡσ ἔφην R 35 δὲ καὶ P

κἂν ἰσχύσῃς τρῶσαι, καὶ οὕτω νενίκηκα· κἂν ἀδικήσῃς ἐκ πανουργίας, ἐστεφάνωσας οὐχ
Phil. 1, 29 ἑκών. ἡμῖν γὰρ ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν
Ioh. 3, 18 πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ὁ γὰρ πιστεύων εἰς αὐτὸν
οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται.

**79** = S 109. Latina uersio extat in Collectione CT 55. idem sermo in V 117 [$V_1$]
L III 693, M IIII 1368 P 108 [$P_1$] S 118 [$S_1$] D 114ᵃ [$D_1$] extat falsa inscriptione commutatus in epistulam qua
Cyrillus Alypii presbyteri Constantinopolitani litteris [V 116] responderit

Τοῦ αὐτοῦ πρὶν συσχεθῆναι παρὰ τοῦ κόμητος καὶ ὑπὸ στρατιωτῶν φυλαχθῆναι

Ὁ μακάριος προφήτης Δαυὶδ τοὺς ἐπὶ θεῶι πεποιθότας εὐτολμοτάτους ἀποφαίνει
Ps. 30, 25 λέγων· ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες
ἐπὶ κύριον. τὰ μὲν γὰρ ἐν τοῖς παραδείσοις φυτὰ ταῖς ἀφθονωτάταις τῶν ὑδάτων
ἐπιρροαῖς αὔξει τε καὶ τέθηλε καὶ εἰς ὕψος αἴρεται μέγα· ψυχὴ δὲ ἀνδρὸς ταῖς τοῦ ἁγίου
πνεύματος παρακλήσεσιν ἁδρύνεται πρὸς εὐσέβειαν, βεβαιοῦται πρὸς πίστιν, ἄθραυστον
δέχεται τὴν ὑπομονήν, ἣν δὴ μάλιστα πασῶν τῶν ἄλλων ἀρετῶν ὁ μακάριος Παῦλος τε-
Rom. 5, 3-5 θαύμακέ τε καὶ οὕτω φησίν· οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν ταῖς θλίψεσιν,
εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ
δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἐστὶ τοίνυν ἡ ὑπομονὴ παντὸς
ἡμῖν ἀγαθοῦ πρόξενος καὶ προμνήστρια, ὁδὸς εἰς εὐδοκίμησιν, τροφὸς ἐλπίδος τῆς εἰς
αἰῶνα τὸν μέλλοντα. κατορθώσομεν δὲ τὴν ὑπομονὴν τίνα τρόπον; ἡ θεία διδάσκει
Sir. 2, 1. 2 λέγουσα γραφή· τέκνον, εἰ προσέρχηι δουλεύειν κυρίωι, ἑτοίμασον τὴν ψυχήν
L III 696 σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον. ἀλλ' ἴσως ἐρεῖ
M IIII 1369 τις· οὐ γὰρ ἦν ἑτέρως εὐδοκιμῆσαι τὸν ἄνθρωπον; οὐκ ἦν δίχα πόνου κατορθοῦν δύνασθαι
τὸ ἀγαθόν; οὐδαμῶς, φησί. καὶ διὰ ποίαν αἰτίαν; πολλοὶ γὰρ λίαν οἱ τοῖς ἁγίοις ἐπι-
βουλεύοντες καὶ δεινὸς περὶ αὐτοὺς ὁ πόλεμος. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν ὁ σωτήρ·
Ioh. 16, 33 θλῖψιν ἔχετε ἐν τῶι κόσμωι, ἀλλὰ θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον.
οὐκοῦν ἐπειδήπερ πολὺς πανταχόθεν τῶν ἁγίων ὁ πόλεμος, ἀντιφέρεσθαι νεανικῶς ἀναγ-
Iac. 1, 12 καῖον αὐτοὺς ταῖς τῶν πειρασμῶν ἐφόδοις καὶ διαμεμνῆσθαι τοῦ λέγοντος μαθητοῦ· μακά-

---

V, P [= hk], S, D [= mn], WRΛᵗΛᶜ

1 τρῶσαι SDWRΛ σταυρῶσαι VP νενίκηκε DRΛ 2 τὸ ὑπὲρ VPR *pro* Λ παρὰ SDW 4 κρίνεται W in fine add. ὅτι αὐτῶ πρέπει δόξα κράτοσ [κράτοσ om. W] τιμὴ καὶ προσκύνησισ νῦν καὶ ἀεὶ καὶ [νῦν — ἀεὶ καὶ om. W] εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων ἀμήν [τῶν — ἀμήν om. W] SDW

V, P [= hk], S, D [= mn], ΛᵗΛᶜ $V_1$ $P_1$ [= $h_1k_1$], $S_1$, $D_1$ [= $m_1n_1$, usque ad 11 κύριον]

οθ V ō P ρε' D ριζ $V_1$ ρη $P_1$ 8 Τοῦ — φυλαχθῆναι] κύριλλοσ ἀλυπίω προσβυτέρω $V_1P_1S_1D_1$ τοῦ αὐτοῦ VPΛ ὁμιλία κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ λεχθεῖσα ἐν ἐφέσω SD πρὶν — φυλαχθῆναι om. Λ συσχεθῆ VP ὑπὸ V φυλαχθῆ VP 9 τῶ θω̄ $V_1P_1S_1D_1$ εὐτολμωτάτουσ $SD_1$ εὐτολμοτέρουσ D 9/10 ἀποφαίνων λέγει $V_1P_1$ 10 ὑμῶν ἡ καρδία $V_1$ 11 κν̄ προεγράφη καὶ τὰ ἑξῆσ ζήτει ὄπισθεν εἰσ τὴν ὁμιλίαν κυρίλλου ἀλεξανδρείας $D_1$ γὰρ om. PD ἀφθονωτάτοις D 12 ἐπιροαῖσ S ἐπιρροίαις $DP_1S_1$ 12/13 τοῦ ἁγίου πνεύματος] τῶν ἁγίων πατέρων P 13 ἀνδρύνεται D καὶ βεβαιοῦται $V_1P_1S_1$ καὶ ἄθραυστον $V_1P_1S_1$ 14 ἔχει $S_1$ δὴ om. $V_1P_1S_1$ τῶν ἀρετῶν τῶν ἄλλων $V_1S_1$ παῦλοσ VPSDΛ ἀπόστολοσ $V_1S_1$ ἀπόστολοσ παῦλοσ $P_1$ 15 τε om. SD καυχώμενοι $V_1P_1S_1$Λ καυχώμεθα VPSD 17 ἡᵃ om. $V_1P_1S_1$ 17/18 ἡμῖν παντὸς $V_1P_1$ 18 πρόξενος ἀγαθοῦ D καὶ προμνήστρια om. $V_1P_1S_1$ τροφὸς] προφορὰ $V_1$ 19/20 κατορθώσομεν — γραφή] τίνα δὲ τρόπον ταύτην κατορθώσομεν διδάσκει λέγουσα ἡ θεία γραφὴ $V_1P_1S_1$ 19 κατορθώσαιμεν D κατορθώσωμεν Λ 20 γραφὴ λέγουσα D τῶ κω̄ VP ἑτοιμάσθητι τῆ ψυχῆ P 22 πόνων S 23 καὶ om. $V_1P_1S_1$ γὰρ om. $V_1P_1S_1$ οἱ] ἐν D 24 καὶ om. $V_1P_1S_1$ αὐτῶν $P_1$ καὶ αὐτὸς om. $V_1P_1S_1$ 25 ἔξετε DΛ 26 πανταχόθεν om. $V_1P_1S_1$ 26/27 ἀναγκαῖον αὐτούς] χρὴ $V_1P_1S_1$ 27 καὶ διαμεμνῆσθαι DΛ διαμεμνῆσθαι δὲ VPS διαμεμνημένους $V_1P_1S_1$ μαθητοῦ om. $V_1P_1S_1$

ριος ἄνθρωπος ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται
τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. βού-
λομαι δέ τι τῶν ἀρχαιοτέρων ὑμῖν ἀφηγήσασθαι πραγμάτων, ἵνα μάθητε τῆς πνευματικῆς
εὐανδρίας τὸ τέλος. οἱ Βαβυλωνίων τύραννοι καὶ οἱ τοὺς τῆς παρ' αὐτοῖς βασιλείας διέποντες PG 1008
θρόνους ἑτοιμότεροί πως ἀεὶ γεγόνασι πρὸς ὠμότητα καὶ ὑπεροψίαν, καὶ τοὺς τῆς ἀνθρω-
πότητος ὑπερβαίνοντες ὅρους τὸ μόνωι πρέπον ἀξίωμα τῶι ἐπὶ πάντων θεῶι εἰς ἑαυτοὺς ἁρπάζειν
ἤθελον. καὶ γοῦν ὁ ἐπάρατος Ναβουχοδονόσορ ἀνέστησε μὲν εἰκόνα χρυσῆν, ὑπηχούντων Dan. 3, 1-5
δὲ αὐτῆι τῶν εὐφωνοτάτων ὀργάνων προσκυνεῖν ἐκέλευε τοῖς ὑπὸ χεῖρα λαοῖς. οἳ δὲ
οὐκ ἀμελέτητον ἔχοντες τὸ λατρεύειν τῆι κτίσει παρὰ τὸν κτίσαντα θεόν ἑτοιμότατα μὲν Rom. 1, 25
πρὸς τοῦτο ἐβάδιζον, ἤλλαξαν δὲ τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι Rom. 1, 23
εἰκόνος φθαρτοῦ ἀνθρώπου. ἐπειδὴ δὲ τοὺς τῶν Ἑβραίων παῖδας ἦγον εἰς μέσον
οἱ Βαβυλώνιοι· Ἀνανίας δὲ ἦν καὶ Ἀζαρίας καὶ Μισαήλ· προσκυνεῖν ἐκέλευον τῆι εἰκόνι τῆι
χρυσῆι καὶ τό εὐγενέστατον καὶ φιλόθεον κατεβιάζοντο γένος εἰς τὴν ἴσην αὐτοῖς κατο-
λισθῆσαι ἁμαρτίαν καὶ προσκυνεῖν τῆι εἰκόνι τῆι χρυσῆι. ἀλλ' ἤνυον μὲν οὐδέν, ἡττώ-
μενοι δὲ ὑπὸ τῆς ἐκείνων φιλοθείας τὴν διὰ πυρός αὐτοῖς ἐπήγαγον κόλασιν. ἔγκλημα δὲ
ἦν τοῖς πλεονεκτουμένοις τό βέβαιον εἰς πίστιν, τὸ πεπηγὸς εἰς εὐσέβειαν, ἀνθρωπολα-
τρείας παραίτησις καὶ τὸ μὴ βούλεσθαι φρονεῖν ὅσα τὴν θείαν περιυβρίζει φύσιν. ἐπειδὴ
δὲ ἐνεβλήθησαν εἰς τὴν κάμινον τοῦ πυρός, τότε δὴ τότε τῆς ἀρρήτου δυνάμεως μεγάλη
γέγονεν ἡ ἐπίδειξις· μετεσκευάζετο γὰρ τῶν στοιχείων ἡ δύναμις εἰς τὸ παρὰ φύσιν καὶ
τοῖς τοῦ κτίσαντος νεύμασι παρεχώρει τό πῦρ καὶ εἰς πνεῦμα δρόσου διασυρίζον ἡ φλὸξ Dan. 3, 50. 51
μετεπλάττετο. αἰσθόμενοι δὲ τῆς ἄνωθεν ἐπικουρίας οἱ νεανίαι ἧιδον ἐν τῆι καμίνωι
τοῦ πυρός, ταῖς εἰς θεὸν ὑμνωιδίαις ἐξημεροῦντες τὸ πῦρ. ἐκκλησίας τύπος ἡ κάμινος
ἦν, ἁγίους ἔχουσα χορευτάς, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους. τεθαύμακας Dan. 3, 49. 92
τῶν ἀνδρῶν τὴν ἀρετήν, ἐπήινεσας τὴν ὑπομονήν, [ἔγνως] τῆς φιλοθείας τὸ μέγεθος; ἴδωμεν
ἐν τίσι τὰ καθ' ἡμᾶς. ἐκεῖνοι μὲν ὑπὸ τυράννοις ἦσαν βαρβάροις, ἡμεῖς δὲ ὑπὸ
σκήπτροις εὐσεβέσιν, εὐσεβεστάτους ἔχοντες τοὺς τῶν ὅλων κρατοῦντας πραγμάτων. πῶς
ἐνδώσομεν τοῖς ἐχθροῖς; εἰ γὰρ καὶ κάμινον ἀνάπτουσιν ἐπιβουλῆς καὶ φλόγας ἐγείρουσι
δυστροπίας, ἀνθρωπολατρείαν ἡμῖν εἰσφέροντες, ἀλλ' ἡμεῖς ἔχομεν θεὸν ἐν οὐρανῶι, αὐτῶι L III 697
προσκυνήσωμεν. θεὸς γὰρ ὢν φύσει γέγονε καθ' ἡμᾶς, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεός,
τιμήσας δὲ τὴν ἀνθρώπου φύσιν. δυνατὸς οὖν ἐστιν ἐξελέσθαι ἡμᾶς. ἡμεῖς γὰρ τῆι M IIII 1372
πίστει τῶν εὐσεβεστάτων ἑπόμενοι βασιλέων καὶ τῆς ἐνούσης αὐτοῖς ἡμερότητος εἰδότες

---

V, P [= hk], S, D [= mn], $\Lambda^t\Lambda^c$ $V_1P_1$, $S_1$ [usque ad 7 ἤθελον]

1 ἀνὴρ $DV_1P_1S_1$ ὑπέμεινε S ὑπομείνει $S_1$ θλίψιν καὶ πειρασμόν VP τον πειρασμόν S 2 ὁ θεός om. $S_1\Lambda$ 3 δὲ καί $V_1P_1S_1$ ἀρχαίων $V_1$ ὑμῖν om. VPS 4 οἱ[2] om. VPSD αὐτῆς V 5 γεγόνασι om. VPS 6 ὑπερβαῖνον S πρέπον — θεῶι] θῶ πρέπον ἀξίωμα $V_1P_1S_1$ 7 ἤθελον προεγράφη καὶ τὰ ἑξῆσ ζήτει ὄπισθεν εἰσ τὴν ὁμιλίαν κυρίλλου ἀλεξανδρείασ $S_1$ οὖν V ἔστησε $V_1P_1$ 8 αὐτὴν $DP_1$ προσκυνεῖν ταύτη $V_1P_1$ 9 ἀτημέλητον $V_1$ θεόν om. $V_1P_1$ 10 ἠλλάξαντο D 11 δὲ καὶ $V_1P_1$ εἰσ μέσον ἦγον $V_1P_1$ ἤγαγον εἰσ μέσον D 12 δὲ] τὲ $V_1P_1$ ἦσαν D ἐκελεύοντο $\Lambda^c$ 13 εὐγενέσ $V_1P_1\Lambda$ καὶ τό $V_1$ κατεβιάζετο Λ γένοσ κατεβιάζοντο P τούτοισ $V_1$ 13/14 κατολισθεῖν $PP_1$ ἁμαρτίαν κατολισθῆσαι SD 14 προσκυνῆσαι SD μὲν DΛ μὲν οἱ βιάζοντεσ $V_1P_1$ om. VPS 14/15 ἡττόμενοι $P_1$ ἡττόμενοσ P 15 ὑπὸ D οἱ τύραννοι ὑπὸ $V_1P_1$ om. VPS φιλοθείας] καρτερίασ $V_1P_1$ ἐπῆγον $V_1P_1$ ἐπήγαγε P ἐγκλήματα $V_1P_1$ 16/17 ἀνθρωπολατρίασ $PSDP_1$ 17 ἐπεὶ D 18 ἐβέβληντο $V_1P_1$ τοῦ πυρόσ κάμινον $V_1P_1$ τότε[2] om. $V_1$ 19 ἡ om. $V_1P_1$ τοῦ στοιχείου D τὴν παρὰ φύσιν ἐνέργειαν $P_1$ 22 εὐχαῖσ $P_1$ τόποσ $V_1P_1$ 24 ἔγνωσ $V_1P_1$ om. VPSDΛ 25 ἡμᾶς οὐκ ἀγνοοῦντεσ κἀκεῖνα $V_1P_1$ μὲν DΛ μὲν γάρ VPS om. $V_1P_1$ ἦσαν om. $V_1P_1$ καὶ βαρβάροις D δὲ om. $V_1P_1$ 26 πῶσ τό λοιπόν $V_1P_1$ 27 καὶ om. V ἅπτουσιν $V_1P_1$ ἐπιβουλῇ P ἐπίβουλοι V καὶ $V_1P_1\Lambda$ εἰ καὶ VPS ἢ καὶ D ἀνάπτουσι P 28 δυστροπία VPS ἀνθρωπολατρίαν $PDP_1$ ἀνθρωπολατρία S ἀνθρωπολάτρασ $V_1$ αὐτόν $V_1$ 29 προσκυνήσομεν $VP_1$ καὶ θσ̄ γὰρ S 30 τοῦ ἀνθρώπου $V_1$ τῶν ἀνθρώπων VP οὖν $V_1P_1\Lambda$ om. VPSD

τὸ μέγεθος τῆς τῶν ἐναντίων σκαιότητος οὐκ ἀνεξόμεθα, ὁμολογήσομεν δὲ ὅτι θεὸς κατὰ
φῦσιν ἐστὶν ὁ Ἐμμανουήλ. καὶ τοῦτο λέγοντες οὕτω τε διακείμενοι πλείστην ὅσην
Mt. 10, 32. 33 ἀποκερδανοῦμεν τὴν ἀντιμισθίαν. καὶ ποίαν ταύτην; αὐτὸς ἡμᾶς διδάξει λέγων· πᾶς
οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω
PG 1009 κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ὃς δ' ἂν ἀρνή-
σηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν
τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὁμολογεῖ δὲ αὐτὸν ὁ λέγων ὅτι θεός ἐστιν
ἀληθινὸς καὶ τοῖς ἀπιστοῦσιν ἐπιτιμῶν, ἀρνεῖται δὲ πάλιν ὁ μὴ λέγων ὅτι θεός ἐστιν ἀληθι-
νός, ἀλλὰ καὶ τοῖς ὁμολογοῦσι μαχόμενος. οὐκοῦν ἀρνήσεται μὲν ἐκείνους, ὁμολογήσει
δὲ ἡμᾶς ὁ πάντων σωτήρ· δι' οὗ καὶ μεθ' οὗ τῶι πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίωι
πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

**80** = 136 [$V_1$] S 82

Τοῦ αὐτοῦ πρὸς Νεστόριον, ἡνίκα κατῆλθον οἱ ἑπτὰ εἰς τὴν ἁγίαν Μαρίαν

L III 584 Φαιδρὸν ὁρῶ τὸ σύστημα, τῶν ἁγίων πάντων συνεληλυθότων προθύμως, κεκλημένων
M IIII 1252 PG 77, 992 ὑπὸ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας τῆς ἀειπαρθένου. ἀλλὰ γὰρ ἐν λύπηι με διάγοντα
πολλῆι εἰς χαρὰν μετέβαλεν ἡ τῶν ἁγίων πατέρων παρουσία. νῦν ἐπληρώθη πρὸς ἡμᾶς
Ps. 132, 1 τὸ τοῦ ὑμνογράφου Δαυὶδ γλυκερὸν ῥῆμα· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ'
ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; χαίροις τοίνυν παρ' ἡμῶν, ἁγία μυστικὴ
τριὰς ἡ τούτους ἡμᾶς πάντας συγκαλεσαμένη ἐπὶ τήνδε τὴν ἐκκλησίαν τῆς θεοτόκου Μαρίας·
M IIII 1253 χαίροις παρ' ἡμῶν, Μαρία θεοτόκε, τὸ σεμνὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς
ἡ ἄσβεστος, ὁ στέφανος τῆς παρθενίας, τὸ σκῆπτρον τῆς ὀρθοδοξίας, ὁ ναὸς ὁ ἀκατά-
L III 585 λυτος, τὸ χωρίον τοῦ ἀχωρήτου, ἡ μήτηρ καὶ παρθένος, δι' ἧς ὀνομάζεται ἐν τοῖς ἁγίοις εὐαγ-
Mt. 21, 9 γελίοις εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· χαίροις ἡ τὸν ἀχώρητον
χωρήσασα ἐν μήτραι ἁγίαι παρθενικῆι, δι' ἧς τριὰς ἁγία δοξάζεται καὶ προσκυνεῖται εἰς
πᾶσαν τὴν οἰκουμένην, δι' ἧς οὐρανὸς ἀγάλλεται, δι' ἧς ἄγγελοι καὶ ἀρχάγγελοι εὐφραί-
νονται, δι' ἧς δαίμονες φυγαδεύονται, δι' ἧς διάβολος πειράζων ἔπεσεν ἐξ οὐρανοῦ, δι'
ἧς τὸ ἐκπεσὸν πλάσμα εἰς οὐρανοὺς ἀναλαμβάνεται, δι' ἧς πᾶσα ἡ κτίσις εἰδωλομανίαι
κατεχομένη εἰς ἐπίγνωσιν ἀληθείας ἐλήλυθε, δι' ἧς βάπτισμα ἅγιον γίνεται τοῖς πιστεύουσι,
δι' ἧς ἔλαιον ἀγαλλιάσεως, δι' ἧς εἰς πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαι τεθεμελίωνται, δι'
ἧς ἔθνη ἄγονται εἰς μετάνοιαν καί, τί πολλὰ λέγω; δι' ἧς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ φῶς

---

V, P [= hk], S, D [= mn], $Λ^tΛ^c$ $V_1P_1$

1/2 ἐστι κατὰ φύσιν D 2 οὕτω τε SD οὕτω δὲ VP καὶ οὕτω $V_1P_1$ 3 ἀποκερδάνωμεν D κερδανοῦμεν S καὶ — ταύτην om. $P_1$ αὐτὸσ ὁ σωτὴρ $V_1P_1$ ὁ αὐτὸσ P ἡμᾶσ διδάσκει DΛ διδάξει ἡμᾶσ $V_1P_1$ 4 οὖν om. $V_1P_1Λ^t$ 5 αὐτόν] ἐν αὐτῶ $DP_1$ τοῖς οὐρανοῖσ $SP_1$ 5—7 ὅς — οὐρανοῖσ $V_1Λ$ om. $P_1$VPSD 8—11 καὶ τοῖς — πνεύματι] ὁ ἐμμανουὴλ ὁ ἐκ τῆσ ἁγίασ καὶ θεοτόκου μαρίασ γεννηθεὶσ ὁ δὲ μὴ οὕτωσ ὁμολογῶν δηλονότι ἀρνεῖται οὐ γνωριζόμενοσ [γνωρίζεται $P_1$] παρὰ θῦ ὁ τοιοῦτοσ ἀλλ' ἔχων [ἔχει $P_1$] τῆσ ἀρνήσεωσ τὴν τιμωρίαν ἐν ἡμέρα κρίσεωσ ἔνθα ἐστὶ πυρὸσ ζῆλοσ ἐσθίειν μέλλοντοσ τοὺσ ὑπεναντίουσ ἡμεῖσ τοιγαροῦν [το παρὸν $V_1$] ὁμολογοῦντεσ αὐτῶ προσκυνήσωμεν $V_1P_1$ 8/9 καὶ τοῖς — ἀληθινός om. S 8 ἐπιτιμᾶ VD 9 οὐ μαχόμενοσ $S^{corr}$ 10 ὑμᾶσ S καὶ μεθ' οὗ om. Λ τῶ θῶ καὶ πατρὶ SD καὶ τὸ κράτος om. SD 10/11 σὺν — ἀμήν om. V 11 αἰῶνασ τῶν αἰώνων $V_1P_1Λ$ ἀμὴν om. $SV_1$

V, $V_1$ P [= hk], S, D [= mn], W; sermo non est Cyrilli

π V ρλς' $V_1$ $\overline{οα}$ P οθ' D 13 τοῦ αὐτοῦ κυρίλλου D κατὰ νεστορίου W ἡνίκα — Μαρίαν om. SDW πρὸσ P 16 ὑμᾶσ DW 17 δὴ om. S 18 ἡ ἁγία P 19 ἐκκλησίαν SDW κλῆσιν $VV_1P$ 20 μαρία $VV_1P$ ἁγία SDW σεπτὸν D πάσησ SDW 21/22 ἀκατάληπτοσ P 22 ἁγίοις om. $VV_1P$ 24 παρθένε P ἁγία [ἡ ἁγία D] δοξάζεται SDW ἁγιάζεται P ἁγιάζεται δι' ἧσ σταυρὸσ τίμιος ὀνομάζεται $VV_1$ 25 ὁ οὐρανὸσ $VV_1P$ 27 οὐρανὸν DW 28 ἅγιον βάπτισμα SDW 29 ἐκκλησία τεθεμελίωται W

ἔλαμψε τοῖς ἐν σκότει καὶ σκιᾶι θανάτου καθημένοις, δι' ἧς προφῆται προεμή- Lc. 1, 79
νυσαν, δι' ἧς ἀπόστολοι κηρύττουσι σωτηρίαν τοῖς ἔθνεσι, δι' ἧς νεκροὶ ἐγείρονται, δι' ἧς
βασιλεῖς βασιλεύουσι. διὰ τριάδος ἁγίας (καὶ τίς δυνατὸς ἄνθρωπον λέγειν τὴν πολυύ-
μνητον Μαρίαν;) ἡ μήτρα ἡ παρθενική. ὢ τοῦ θαύματος· ἐκπλήττει με τὸ θαῦμα.
τίς ἤκουσε πώποτε οἰκοδόμον ναὸν ἴδιον οἰκοδομήσαντα καὶ κωλυόμενον οἰκεῖν ἐν αὐτῶι;
τίς τὴν ἰδίαν δούλην μητέρα προσκαλεσάμενος ἐνυβρίζεται;

Ἰδοὺ τοίνυν χαίρει τὰ σύμπαντα θάλαττά τε ὑπετάγη τοῖς ἰδίοις συνδούλοις ἐπι-
γνοῦσα, καὶ σκιρτώντων κυμάτων ἀγρίων ἡ τῶν ἁγίων ἐπίβασις εἰς γαλήνην μετέβαλεν.
ἐμέμνητο γὰρ τοῦ σωτῆρος τῆς φωνῆς ἡ δούλη ἐπανισταμένη λέγοντος σιώπα, πεφίμωσο. Mc. 4, 39
γαῖαν δὲ τήν ποτε ὑπὸ ληιστῶν διοδευομένην ἡ τῶν πατέρων ὁδοιπορία εἰς εἰρήνην
μετέβαλεν· ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. ποίαν Rom. 10, 15
εἰρήνην; Ἰησοῦν τὸν κύριον ἡμῶν, ὃν ἔτεκε Μαρία, ὡς αὐτὸς ἠθέλησε. τί μοι γὰρ PG 993
πολυπραγμονεῖν καὶ μὴ φιλοφρονεῖν περὶ τὴν γραφήν; ἀλλ' ἐρεῖς μοι Ἰουδαίων τὴν ἄρνησιν;
οἱ προφῆται τούτους ἀπεκήρυξαν ἐξ ἀρχῆς, οἴκοθεν τὸ χριστοκτονεῖν ἐπιτηδεύσαντας ἄρ-
νησιν προσεκαλέσαντο. ἀλλὰ Ἀρείου τὸ πικρὸν νόσημα; φιλοκαθεδρίας λοιμικῆς τὸ
ἐπιθύμημα. ἀλλ' Ἑλληνικῆς ἀσελγείας τὸ ἀνώνυμον καὶ ἄθεον φρόνημα; ἀγνωσίας τὸ
ἐπιτήδευμα. καὶ τί δεῖ λέγειν; πᾶν ἔθνος πορευόμενον ἀθεμίτοις κώμοις οὗτος τῆι κα-
κίαι ὑπερῆρεν. ἔθνη γὰρ πολλάκις ἀγνοοῦντα τὴν γραφὴν θεὸν δυσφημοῦσιν οὐχ ἑκόν-
τα· οὗτος δὲ γραφὴν ἅπασαν κεκτημένος, τολμῶ δὲ λέγειν, τάχα καὶ μαγικῆς ἐμπαίγματα
μελετήσας, οὐκ ἐνέκυψε γνησίως πρὸς τὴν θεόπνευστον γραφήν, ἀλλ' ἐνέκυψεν εἰς ἀρ-
γύριον καὶ χρυσίον. τυφλωθεὶς καὶ κεπφωθεὶς τῆι μανίαι περὶ πράγματα, δυσφημίαι
σεαυτὸν βουλόμενος ἀλλοτριῶσαι, τοῦ θρόνου καὶ τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν
ἐξήλειψας, μὴ ἐπιγνοὺς τόν σοι χαρισάμενον ἀρχιερέως κλῆρον. ἆρα γὰρ οὐκ ἐπείσθης M IIII 1256
Παύλωι λέγοντι· κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα, L III 588
ἀνάθεμα ἔστω; Παῦλος οὐκ ἔπαυσέ σου τὸ κενὸν φρόνημα· ἀλλ' Ἡσαίας εἰπὼν ἰδοὺ Gal. 1, 8
ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ies. 7, 14
Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεὸς οὐδ' αὐτός· Mt. 1, 23
διάνοιαν γὰρ ἐκτήσω δεινῆς κακοφροσύνης. ἄκουσον κἂν τῶν δαιμόνων λεγόντων
τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. τίς δέ Mt. 8, 29
σοι τοῦτον τὸν εὐτελῆ λογισμὸν συνεβούλευσε κηρῦξαι; τίς ὁ συμπονήσας τῶι ἀκαίρωι
νοσήματι; οὐκ ἠιδέσθης θεὸν ἐξομοιῶν Περσικῆι βασιλείαι· οὐκ ἐνετράπης ἀθετεῖν
βουλόμενος πατέρων καὶ εὐαγγελιστῶν καὶ προφητῶν παραδόσεις καὶ νομίσας ἄρχειν
πασῶν τῶν ἐκκλησιῶν οὐκ ἐμνήσθης τοῦ ἀπὸ κοπρίας εἰς ὕψος οὐράνιον ἀναγαγόντος
σε καὶ τοῖς ἔργοις προσέχων οὐκ ἐπέγνως τὸν δημιουργόν. βουλόμενος ἀνάστατον

$VV_1$, P [= hk], S, D [= mn], W

1 καθεζομένοισ SDW ἧσ SDW ἣν $VV_1$P 1/2 προὐμήνυσαν S 3 ἀνῶν $VV_1$PSDW 5 οἰκοδόμον om. $V_1$ 6 τὴν om. $VV_1$ 7 θάλασσα W δὲ $VV_1$P τοὺσ ἰδίουσ συνδούλουσ $VV_1$P 8 σκιρτῶσα τῶν W 9 τῆσ τοῦ σρσ $VV_1$ 10 ὑπὸ — διοδευομένην ποτὲ SDW τῶν ἁγίων πατέρων S 11/12 ποίαν εἰρήνην om. $V_1$P 12 γάρ μοι SDW 13 καὶ μὴ φιλοφρονεῖν om. SW 14 ἐξ ἀρχῆς οἴκοθεν] ἐξανέκαθεν P ἐπιτηδεύσαντεσ PW 15 προεκαλέσαντο SW νόημα $V^{corr}$ $V_1$ φρόνημα V λοιμοκαθεδρίασ λοιμικῆσ P 18 βλασφημοῦσιν SDW 19 αὐτόσ SDW ἔμπαιγμα S 20/21 ἄργυρον καὶ χρυσόν $VV_1$P 21 τυφωθεὶς SW κεπφωθεὶσ] τυφωθεὶσ P πράγματα SDW πρᾶγμα $VV_1$P 21/22 δυσφημίαι σεαυτὸν scripsi δυσφημίασ ἑαυτὸν PSDW δυσφημίασ σεαυτὸν $VV_1$ 22 τοῦ θρόνου ἀλλοτριῶσαι SD 23 ἀπήλειψασ SDW ἀρχιερωσύνησ SDW γὰρ om. SDW ἐπείσθη $VV_1$P 24 καὶ S 25 οὐκ om. $VV_1$P 28 ἐκτίσω S κενῆσ P 29 σοὶ $V^{corr}$ W σὺ $VV_1$PSD ἦλθεσ ὧδε VD, corr. V 30 ἐντελῆ $VV_1$ ἀτελῆ P συμπονέσασ PS 31 ἐξομοιοῦν SDW 32 παραδόσεισ καὶ προφητῶν W παραδδόσεισ $V_1$ 33 ἁπασῶν SD 33/34 οὐκ — προσέχων om. W spatio rel. οὐράνιον — σε VP ἀναγαγόντοσ σε οὐράνιον $V_1$ οὐράνιον ἀναγαγόντοσ S οὐράνιον ἀγαγόντοσ D 34 ἀπέγνωσ W ἄστατον SD

καταστῆσαι τὴν οἰκουμένην ἀπατηλοῖς λόγοις, ἐφυβρίζων ναὸν θεοῦ καὶ τὸν κυηθέντα ἐκ
παρθένου Μαρίας ἀπομερίζειν βουλόμενος, δόγμα πονηρὸν καὶ λύσσαν [τῶι] κόσμωι διεγεῖρον
μήτε λυόμενον μήτε φανερούμενον, ἀλλά γε μὴ ζητούμενον πρὸ καιροῦ, Βελίαρ μιμησάμενος
ἐνόμισας σειραῖς τῶν σῶν ἀνόμων ἐννοιῶν πείθειν βασιλέα φίλον ὀρθοδοξίας καὶ προ-
σκυνητὴν ὁμοουσίου τριάδος, δι' ἧς διηνεκῶς βασιλεύει, δι' ἧς ἔθνη τὰ πολέμια συνετρίβη,
δι' ἧς χορὸς ἀειπαρθένων βασιλεύει, δι' ἧς κόσμον ἐν εἰρήνηι καθίστησι, τοῦτον λόγοις
σοῖς ἀπατηλοῖς ἐνόμισας ἀποστάτην γενέσθαι καὶ λαὸν θεοφιλῆ πορθεῖν ἐβουλήθης καὶ
πατέρων πλῆθος εἰς ἀναπνοὴν τυγχάνοντας διέσκυλας. οὐκ ἠρκέσθης σεαυτὸν ὀλέσαι
PG 996 δυσφημήσας θεόν, ἀλλὰ καὶ τὴν οἰκουμένην πᾶσαν διεθρύλησας. ἀλλ' ἰδοὺ ἐπληρώθη
Ps. 9, 17 καὶ ἐπὶ σοὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.
κλῆρον ἅγιον διακόνων καὶ πρεσβυτέρων ἀποσυναγώγους ἐποίησας, ἐλέγχοντάς σου τὴν
ἄκαιρον μανίαν * * μὴ τὰ Ἀρείου φρονεῖν. καὶ νῦν οὐ τὸν πεσόντα καταβάλλω οὐδὲ
τὸν κλυδωνιζόμενον καταποντίζω, ἀλλὰ τῶν ἀνόμων συμβούλων σκώπτω τὴν μάταιον
συκοφαντίαν. τίς εἶδε πλοῖον, εἰς εὔδιον λιμένα ἐν γαλήνηι διάγον, ναυάγιον ὑπομένον;
τίς εἶδεν ἀθλητὴν ἐπὶ τὸ σκάμμα πεσόντα καὶ μὴ ἀνορθούμενον; ἀλλὰ ἆρα, σοῦ
πεσόντος ἢ ναυαγήσαντος περὶ τὴν πίστιν, ἡμεῖς χεῖρα οὐκ ὠρέξαμεν; μάρτυρα δέχου τὸν
ep. 10 τίμιον καὶ ἅγιον ἀρχιεπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον, συνεχῶς γράφοντά σοι
ἀποστῆναι τοῦ ματαίου καὶ ἀνωφελοῦς καὶ ἀσυστάτου δόγματος, ἔτι μὴν καὶ τὴν ἡμε-
τέραν πτωχείαν διὰ γραμμάτων βραχέων τὸν αὐτὸν τρόπον παρακαλοῦντας δέξασθαι ἡμᾶς
λέγοντας περὶ θεοῦ. σὺ δὲ οὐκ ἐλογίσω ἡμᾶς, ἀσπλαγχνίαν τινὰ καὶ ἀπόνοιαν περι-
M IIII 1257 βεβλημένος, κακίαι ἐγκαυχώμενος, ὡς δυνατός, ἄνομα διαλογιζόμενος, καὶ ξυρὸν γέγονας
κατὰ σεαυτοῦ ἐξηκονημένον, μέλλων ἐργάζεσθαι δόλον. διὰ τοῦτο ὁ θεός, ὃν παρε-
λογίσω, καθεῖλέ σε καὶ ἐξέτιλε τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων, διότι οὐκ ἐφρόνησας
περὶ θεοῦ.

L III 589 Καὶ ταῦτα μὲν παρ' ἡμῶν ἀρκείτω τὰ πρὸς τοῦτον· θεός ἐστι κριτὴς καὶ ἀποδότης
ἑκάστωι κατὰ τὰ ἔργα αὐτοῦ. γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνότητα καὶ
βασιλεῖ θεοφιλεστάτωι ὑπηκόους γίνεσθαι καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι καὶ τρέμειν
καὶ σέβειν τὴν ἀδιάστατον τριάδα, ὑμνοῦντας τὴν ἀειπαρθένον Μαρίαν, δηλονότι τὴν ἁγίαν
ἐκκλησίαν καὶ τὸν ταύτης υἱόν καὶ νυμφίον ἄσπιλον, ὅτι αὐτῶι ἡ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. ἀμήν.

---

$VV_1$, P [= hk], S, D [= mn], W

1 στῆσαι W ποιῆσαι P 2 τῶ om. SDW διεγεῖρον $VV_1$ διεγείρειν PSDW 3 μὴ SD λυομένην μήτε φανερουμένην $VV_1$ ζητούμενοσ $VV_1$PSDW 4 βασιλεῖ φίλω S 5 πάντα τὰ πολέμια ἔθνη P συντρίβη V 7 σὺ W ἠβουλήθησ SDW 7/8 καὶ — διέσκυλας om. W spat. rel. 8 διέσκυλασ $VV_1$ διεσκύλευσασ PD ἐσκύλευσασ S σαυτὸν $VV_1$P ὀλέσασ SDW 9 ἀλλὰ — διεθρύλησας om. $V_1$ διεθρύλλησασ PSDW διελύθρησασ V 10 σὲ SDW συνελείφθη S 11 πρεσβυτέρων καὶ διακόνων SDW ἐλέγχοντά VP 12 lacunam statui e. g. supplendo ὡς οὐδὲν ἄλλο οὖσαν εἰ 13 ἀνόμων $VV_1$P ματαίων SDW συμβούλων $VV_1$PW συμβουλιῶν SD σκώπτω $V_1$W σκόπτω V σκοπῶ P κόπτω SD ματαίαν W 14 οἶδε Vn ὑπομεῖναν SDW 15 οἶδεν Vn 16 ἐπὶ P ἡμεῖς om. SDW ὀρέξαμεν $VV_1$PmW 17 ἀρχεπίσκοπον D μεγάλης om. W 18 ἀπὸ τοῦ SDW 18/19 τὴν ἡμετέραν πτωχίαν $VV_1$ ἡ ἡμετέρα πτωχεία PSDW; 20 παρὰ W; περὶ θεοῦ suspecta 21 ὡσ οὐ δυνατὸσ W ὡσ οὐ δυνατόν S ἄνομα διαλογιζόμενοσ $VV_1$P ἀναλογιζόμενοσ SDW 22 μέλλων $V^{corr}$ P μέλλον $VV_1$SDW 23 καθελεῖ SW καὶ om. W ἐξέτειλε SW ἐξέτιλλε PD ἐφρόνησασ ἀξίωσ P 25 ἀρκείτω $VV_1$ ἀρκείσθω PDW om. S τὰ om. $V_1$ ἀποδιδοὺσ SDW 26 τὴν ἑνότητα per se stare posse nego 26—28 ἑνότητα — σέβειν τὴν om. W 27 γενέσθαι SD 28/29 δηλονότι τὴν ἁγίαν ἐκκλησίαν et καὶ νυμφίον ἄσπιλον ab hoc loco aliena; praeterea ἄσπιλον non Christo, sed ecclesiae attribuendum erat 30 τῶν αἰώνων om. SD sequitur hunc sermonem in $V_1$ τοῦ αὐτοῦ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ πρὸσ ἰωάννην ἐπίσκοπον ἀντιοχείασ καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον, sed ipsa epistula 133 hoc loco non repetita est

# INDICES

# I

## IN HAC VOLVMINIS I PARTE II CONTINENTVR


Gesta a concilio Ephesi d. 22. m. Iun. a. 431 .............................. 33—54. 60—62 p. 3—64
Nestorii depositio ad eum missa a concilio .............................. 63. 64 p. 64
Concilii epistula ad Lamprotatum et Eucharium oeconomos ecclesiae Constantinopolitanae .............................. 65 p. 64. 65
Concilii ep. ad clerum et populum .............................. 69 p. 70

Episcoporum Constantinopoli consistentium commonitorium .............................. 66 p. 65. 66. 68. 69

Acacii episcopi Melitenae sermo Ephesi habitus .............................. 74 p. 90—92
Cyrilli ep. ad episcopos Constantinopoli consistentes et Dalmatium archimandritam [ep. 23] .............................. 67 p. 66—68
Cyrilli ep. ad monachos [ep. 26] .............................. 68 p. 69. 70
Cyrilli sermo Ephesi habitus [5] .............................. 75 p. 92—94
Cyrilli sermo Ephesi habitus in s. Iohannis basilica [2] .............................. 76 p. 94—96
Cyrilli sermo Ephesi habitus [1] .............................. 77 p. 96—98
Cyrilli sermo Ephesi habitus contra Iohannem Antiochenum [6] .............................. 78 p. 98—100
Cyrilli sermo Ephesi habitus ante quam custodiae traditus est [7] .............................. 79 p. 100—102
[Cyrilli] sermo cum septem legati Cyrillianorum ad synodum in s. Mariae ecclesia congregatam redierunt [4] .............................. 80 p. 102—104
Regini episcopi Cypri sermo Ephesi habitus .............................. 70 p. 70. 71
Theodoti episcopi Ancyrae sermo Ephesi in s. Iohannis basilica habitus .............................. 71 p. 71—73
eiusdem sermo in natiuitatem Christi Ephesi lectus .............................. 72 p. 73—80
eiusdem sermo in die natiuitatis Christi habitus et Ephesi lectus .............................. 73 p. 80—90


# II

## ADFERVNTVR


| | | |
|---|---|---|
| Gen. | 1, 27 | 78, 28 |
| | 1, 31 | 78, 7 |
| | 1, 32 | 89, 12 |
| | 2, 7 | 78, 27 |
| | 2, 9 | 81, 3 |
| | 9, 22 | 70, 31 |
| | 29, 10 | 95, 21 |
| | 32, 22 | 97, 11 |
| | 32, 24—26 | 97, 14 |
| | 32, 29. 30 | 97, 19 |
| Exod. | 3, 2 | 74, 20 |
| | 3, 6 | 74, 22 |
| | 4, 10 | 94, 32 |
| | 4, 22 | 47, 9 |
| | 7, 1 | 47, 8 |
| | 7, 20. 21 | 84, 13 |
| | 10, 22. 23 | 84, 17 |
| | 17, 9—13 | 69, 28 |
| | 19, 16 | 85, 26 |
| | 19, 18. 19 | 96, 23 |
| Num. | 16, 31. 35 | 71, 5 |
| Deut. | 4, 24 | 96, 29 |
| | 32, 9 | 70, 27 |
| 1 Reg. | 17, 40 | 99, 29 |
| | 24, 7 | 47, 10 |
| Ps. | 8, 5 | 65, 20 |
| | 9, 17 | 104, 10 |
| | 30, 25 | 100, 10 |

| | | |
|---|---|---|
| | 34, 28 | 92, 21 |
| | 49, 3 | 93, 29 |
| | 52, 6 | 68, 21 |
| | 63, 8. 9 | 99, 20 |
| | 65, 4 | 94, 29 |
| | 68, 21 | 69, 15 |
| | 68, 24 | 91, 33 |
| | 73, 13 | 99, 1 |
| | 75, 2 | 94, 31 |
| | 79, 2 | 87, 12 |
| | 88, 11 | 99, 1 |
| | 98, 1 | 87, 12 |
| | 101, 28 | 81, 31 |
| | 109, 1 | 49, 24 |
| | 131, 3—5 | 94, 1 |
| | 131, 6 | 94, 7 |
| | 132, 1 | 102, 17 |
| | 138, 21. 22 | 99, 15 |
| Prou. | 12, 15 | 70, 23 |
| Iob | 10, 11 | 78, 15 |
| Sap. Sal. | 7, 2 | 41, 19 |
| Sir. | 2, 1. 2 | 100, 20 |
| Ies. | 1, 2 | 70, 29 |
| | 1, 3 | 86, 20 |
| | 1, 6 | 71, 3 |
| | 7, 14 | 103, 25 |
| | 9, 6 | 91, 9. 13 |
| | 11, 10 | 81, 5 |
| | 13, 3 | 47, 12 |
| | 14, 12 | 70, 24 |
| | 25, 1 | 92, 19 |
| | 34, 15. 16 | 98, 12 |
| | 40, 12 | 44, 22 |
| | 45, 1 | 47, 11 |
| | 52, 6 | 93, 23 |
| | 53, 7 | 92, 5 |
| | 57, 3. 4 | 92, 25 |
| Ier. | 1, 5 | 39, 27 |
| | 1, 10 | 71, 33 |
| | 5, 22 | 87, 13 |
| | 27 (50), 31 | 93, 9 |
| Bar. | 3, 3 | 81, 32 |
| | 3, 36—38 | 93, 25 |
| | 3, 38 | 92, 4 |
| Ezech. | 16, 52 | 70, 32 |
| Dan. | 3, 1—5 | 101, 7 |
| | 3, 49. 92 | 101, 23 |
| | 3, 50. 48 | 84, 27 |
| | 3, 50. 51 | 101, 20 |
| Os. | 7, 13 | 93, 3 |
| Micha | 5, 2 | 94, 9 |
| Zach. | 9, 16 | 99, 32 |
| Mal. | 3, 6 | 81, 33 |
| | 4, 2 | 46, 1 |
| Mt. | 1, 20 | 46, 12 |
| | 1, 23 | 103, 27 |
| | 2, 2 | 88, 10 |
| | 2, 9 | 87, 16. 88, 3. 7 |
| | 2, 11 | 83, 26 |
| | 2, 13 | 46, 7 |
| | 8, 29 | 103, 29 |
| | 10, 20 | 94, 26 |
| | 10, 32. 33 | 102, 3 |
| | 10, 37 | 36, 24 |
| | 14, 25 | 71, 9 |
| | 16, 18 | 92, 8 |
| | 21, 9 | 102, 23 |
| | 27, 45. 51. 52 | 71, 11 |
| | 27, 46 | 49, 7 |
| Mc. | 3, 19 | 95, 18 |
| | 4, 38. 39 | 90, 20. 21 |
| | 4, 39 | 103, 9 |
| Lc. | 1, 28 | 39, 17 |
| | 1, 31 | 72, 33 |
| | 1, 35 | 39, 19 |
| | 1, 44 | 39, 28 |
| | 1, 79 | 103, 1 |
| | 2, 7 | 44, 23. 86, 9 |
| | 2, 13. 14 | 87, 17 |
| | 2, 14 | 87, 23 |
| | 2, 52 | 50, 11 |
| | 3, 4 | 93, 31 |
| | 4, 18. 19 | 50, 2 |
| Ioh. | 1, 1 | 94, 13. 95, 23 |
| | 1, 10 | 74, 5 |
| | 1, 11 | 74, 4 |
| | 1, 14 | 39, 15. 46, 25. 31. 49, 23. 73, 22. 75, 24. 95, 27 |
| | 1, 16 | 95, 13 |
| | 1, 17 | 39, 7 |
| | 3, 18 | 100, 3 |
| | 5, 37. 38 | 96, 19 |
| | 6, 51. 58 | 43, 4 |
| | 6, 54 | 43, 5 |
| | 6, 56 | 51, 2. 4. 6. 8 |
| | 6, 57 | 51, 10. 11. 13. 14—16 |
| | 8, 19 | 96, 12 |
| | 8, 54 | 49, 3 |
| | 9, 1. 6 | 76, 7 |
| | 9, 29 | 96, 18 |
| | 10, 32. 33 | 93, 12 |
| | 11, 44 | 71, 10 |
| | 12, 26 | 98, 7. 21 |
| | 16, 13. 14 | 49, 4. 25 |
| | 16, 33 | 100, 25 |
| | 17, 3 | 96, 8 |
| | 20, 19 | 82, 18 |
| Act. | 1, 3 | 92, 6 |
| | 2, 30 | 93, 33 |
| Rom. | 1, 23 | 101, 10 |
| | 1, 25 | 92, 33. 95, 6. 101, 9 |
| | 5, 3—5 | 100, 15 |
| | 5, 10 | 51, 22 |
| | 5, 14 | 39, 29 |

| | | |
|---|---|---|
| | 9, 4 | 70, 27 |
| | 10, 15 | 103, 11 |
| 1 Cor. | 1, 23 | 82, 13. 25 |
| | 1, 24 | 82, 30 |
| | 2, 8 | 83, 13 |
| | 2, 14 | 82, 15 |
| | 2, 24 | 42, 27 |
| | 6, 20 | 92, 29 |
| | 8, 6 | 98, 1 |
| | 15, 22 | 40, 10 |
| | 15, 32 | 91, 36 |
| 2 Cor. | 2, 15 | 90, 24 |
| | 4, 16 | 43, 27 |
| | 6, 14. 15 | 34, 10 |
| | 8, 9 | 39, 11. 86, 28 |
| | 10, 4 | 99, 22 |
| | 11, 23 | 92, 1 |
| Gal. | 1, 8 | 103, 24 |
| | 1, 9 | 33, 29 |
| | 3, 13 | 40, 13 |
| | 4, 4 | 42, 18. 45, 14. 16 |
| Eph. | 1, 5 | 43, 25 |
| | 2, 8 | 39, 8 |
| | 6, 14. 16. 17 | 99, 25 |
| | 6, 16 | 70, 14 |
| | 6, 17 | 98, 27 |
| Phil. | 1, 29 | 100, 2 |
| | 2, 5—7 | 44, 16 |
| | 2, 5. 7 | 47, 17 |
| | 2, 5 | 72, 31. 73, 1. 3 |
| | 2, 6. 7 | 73, 8 |
| | 2, 6 | 73, 4. 7. 82, 1 |
| | 2, 7 | 39, 10. 82, 4. 90, 31. 95, 12 |
| | 2, 8 | 91, 7 |
| | 2, 9 | 83, 17 |
| | 2, 10. 11 | 47, 24 |
| | 2, 15. 16 | 94, 25 |
| | 3, 20. 21 | 91, 1 |
| | 4, 4 | 70, 12 |
| Col. | 1, 18 | 91, 12 |
| | 2, 9 | 79, 12 |
| | 2, 14 | 83, 9. 88, 33 |
| 1 Tim. | 2, 8 | 69, 27 |
| Hebr. | 1, 2 | 51, 24 |
| | 1, 3 | 71, 17. 76, 29. 77, 4. 97, 3 |
| | 1, 6 | 95, 15 |
| | 1, 14 | 85, 16 |
| | 2, 14 | 95, 2 |
| | 2, 17. 18 | 48, 16 |
| | 2, 17 | 50, 3 |
| | 3, 1. 2 | 50, 18 |
| | 5, 7—9 | 50, 5 |
| | 5, 9. 10 | 50, 12 |
| | 13, 8 | 84, 7 |
| 1 Petr. | 1, 18 | 92, 29 |
| | 3, 18 | 39, 13 |
| Iac. | 1, 12 | 100, 27 |
| | 1, 17 | 95, 30 |
| Apoc. | 18, 2 | 70, 25 |
| | 19, 16 | 44, 20 |

| | |
|---|---|
| V 2—4 | 8, 3 |
| V 4 | 13, 9 |
| V 5 | 8, 4. 31, 6 et passim |
| V 6 | 36, 22 |
| V 9. 10 | 8, 12 |
| V 10 | 36, 12. 54, 23. 104, 17 |
| V 14 | 67, 29 |
| V 25 | 8, 21. 66, 31 |
| V 31 | 9, 2 |
| V 81 | 68, 7 |
| V 144 | 8, 7 |
| V 146 | 67, 32 |
| Coll. Veron. 3. 4 | 8, 6 |

auctoris sermonis V 80 epistula breuis ad Nestorium 104, 19

symbolum Nicaenum **12, 29**
can. apost. 74 **11, 14. 12, 17**

Ἀμβροσίου [de fide 1, 94] 42, 17
[de fide 2, 77. 78] 42, 27
Ἀθανασίου ἐν τοῦ κατὰ Ἀρειανῶν βιβλίου [3, 33] 39, 26
ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς [2. 7] 40, 15. 24
Βασιλείου ἐπισκόπου Καισαρείας [de spir. s. 18] 44, 9
Γρηγορίου τοῦ ἐπισκόπου Ναζιανζοῦ [ep. 101] 43, 9
Γρηγορίου ἐπισκόπου Νύσσης [or. 1 de beatit.] 44, 15
Ἰουλίου ἐπισκόπου Ῥώμης ἐκ τῆς πρὸς Προσδόκιον ἐπιστολῆς [Lietzmann Apollin. 284] 41, 1
Κυπριανοῦ ἐκ τοῦ περὶ ἐλεημοσύνης [de op. et elem. 1] 42, 8
Νεστορίου p. 225, 13—18 [XIII] 49, 2
p. 226, 14—227, 3 [XVI] 49, 18
p. 227, 20—228, 3 [XXI] 51, 2
p. 228, 4—16 [XXII] 51, 8

p. 234, 10—16 [XI] 48, 15
p. 235, 6—236, 6 [XVII] 50, 2
p. 236, 12—14 [XVIII] 50, 15
p. 240, 1—4 [XVIIII] 50, 18
p. 240, 4—9 [XX] 50, 21
p. 248, 10—249, 1 [V] 47, 1
p. 249, 1—4 [X] 48, 11
p. 254, 5—12 [VII] 47, 16
p. 260, 4—7 [XIIII] 49, 7
p. 261, 20—262, 6 [VIII] 47, 23
p. 262, 3—12 [XV] 49, 10
p. 269, 14—27 [XXIII] 51, 18
p. 271, 1—3 [XXIIII] 51, 27
p. 273, 18—274, 17 [I] 45, 9
p. 275, 1—11 [VIIII] 48, 3
p. 277, 19—272, 2 [II] 45, 22
p. 278, 5—13 [III] 46, 5
p. 283, 2—8 [XXV] 52, 2
p. 285, 24—287, 21 [IIII] 46, 11
p. 289, 6—15 [VI] 47, 6
p. 292, 1—6 [XII] 48, 20
Πέτρου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ θεότητος βιβλίου 39, 6
Pindar. frg. 57 41, 27
Θεοφίλου ἐκ τῆς πέμπτης ἑορταστικῆς ἐπιστολῆς 41, 14
ἐκ τῆς ἕκτης ἑορταστικῆς ἐπιστολῆς 41, 23
Φήλικος ἐπισκόπου Ῥώμης καὶ μάρτυρος ἐκ τῆς πρὸς Μάξιμον τὸν ἐπίσκοπον καὶ τὸν κλῆρον τῆς Ἀλεξανδρείας ἐπιστολῆς [Lietzmann 318] 41, 7